On Hippocrates' Aphorisms: Commentary 1 by Galen of Pergamon

17b.345 *ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑΤΑ.*

— — —

α′. Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρέοντας καὶ τὰ ἔξωθεν.— — —

17b.346 Ὅτι μὲν οὖν οὗτος ὁ λόγος, εἴθ' εἷς ἀφορισμός ἐστιν εἴτε δύο, προοίμιον ὑπάρχει τοῦ παντὸς συγγράμματος ὡμολόγηται σχεδὸν ἅπασι τοῖς ἐξηγησαμένοις αὐτόν. τί δὲ βουλόμενος ὁ Ἱπποκράτης ἐχρήσατο τοιούτῳ προοιμίῳ τῶν ἀπορωτάτων ἐστί. τάχα δ' ἂν εὕροιμεν αὐτὸ, τὰ κατὰ μέρος ἅπαντα τοῦ λόγου προδιασκεψάμενοι. τὸν μὲν βίον ὅτι τῇ τέχνῃ παραβάλλων ἔφη βραχὺν ἅπασι σχεδὸν τοῖς ἐξηγησαμένοις τὸ βιβλίον πρόδηλον· τὴν τέχνην δ' αὐτὴν διὰ τοῦτο ὑπολαμβάνω ἡγεῖσθαι μακρὰν, ὅτι τόν τε καιρὸν ὀλίγου δεῖν ἁπασῶν τῶν κατὰ μέρος ἐνεργειῶν ὀλιγοχρόνιον ἔχει καὶ κατὰ τοῦτο δύσληπτον, ὡς μακρᾶς δεῖσθαι τριβῆς, τὸν διαγνωσόμενον αὐτήν. ὀργάνοιν τε δυοῖν ὄντοιν ὑφ' οἷν εὑρίσκεται τὰ κατὰ τὰς τέχνας τὸ μὲν ἕτερον, ἡ πεῖρα, σφαλερόν ἐστι, τὸ δ' ἕτερον, ἡ ἐκ λόγου κρίσις, οὐκ εὐπετὲς, ἀλλ' εἴπερ τι καὶ ἄλλο τῶν δυκολωτάτων. ὁ μὲν οὖν καιρός ἐστιν ὀξὺς διὰ τὸ τῆς ὕλης ῥευστὸν, ἣν ἡ τέχνη μεταχειρίζεται· εὐμετάβλητον γὰρ ἡμῶν τὸ σῶμα καὶ ῥᾳδίως
17b.347 ἀλλοιούμενον οὐχ ὑπὸ τῶν ἔξωθεν αἰτίων μόνον, ἀλλὰ καὶ ἐξ ἑαυτοῦ. σφαλερὰ δὲ ἡ πεῖρα, διὰ τὸ τῆς ὕλης ἀξίωμα, οὐ γὰρ δὴ διὰ τὸ μεταβάλλειν ἑτοίμως, ἐν γὰρ τῷ τοῦ καιροῦ βραχυχρονίῳ περιέχεται τοῦτο. τὴν κρίσιν δὲ, εἰ μὲν, ὡς ἐγώ φημι, τὸν λόγον ἀκούει τις, εὔδηλον δή που τὸ χαλεπώτατον αὐτοῦ μέχρι τήμερον ἔτ' ἀμφισβητούμενον· εἰ δ', ὡς ἔνιοι τῶν ἐμπειρικῶν ὑπονοοῦσι, τὴν τῶν ἀποβαινόντων ἐκ πείρας ἐπίκρισιν καὶ οὕτως εὔδηλον τὸ δυσκατόρθωτον αὐτῆς. ἀλλ' ὅτι γε δογματικός ἐστιν ὁ γράψας τὸ βιβλίον ἐν ὅλῳ τῷ συγγράμματι δειχθήσεται. τὸ μὲν οὖν πρότερον αὐτοῦ μέρος τοῦ προοιμίου, κατὰ τουτὶ

τελευτᾷ· τὸ δὲ δεύτερον οὐχ ὡς ἀποφαινόμενος, ἀλλ᾽ ὡς συμβουλεύων γράφει. δεῖ δ᾽ οὐ μόνον ἑαυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρέοντας καὶ τὰ ἔξωθεν· δυνάμει τοῦτο λέγων, ὡς εἰ μέλλεις ἐξετάζειν τε καὶ βασανίζειν τῶν ἐν τῷδε τῷ βιβλίῳ γεγραμμένων τὴν ἀλήθειαν, οὐ μόνον αὐτόν σε χρὴ τὸν ἰατρὸν ἅπαντα
17b.348 πράττειν προσηκόντως, ἀλλ᾽ καὶ τὸν νοσέοντα καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ καὶ πρὸς τούτοις ἔτι, τὰ ἔξωθεν, ἀμέμπτως ἔχειν ἅπαντα. γενήσεται τοίνυν ὁ μὲν πρότερος λόγος, ἓν τόδε τὸ κεφάλαιον ἔχων, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρά. τὰ γὰρ ἐξῆς ἅπαντα τοῦ μακρὰν εἶναι τὴν τέχνην ἀποδείξειν ἔχει. μετὰ δὲ τοῦτον καὶ ὁ δεύτερος οἷον συμβουλὴν ἢ συνθήκην τινὰ πρὸς τοὺς ἀναγνωσομένους τε καὶ κρινοῦντας αὐτοῦ τὸ σύγγραμμα φέρων. τί δή ποτ᾽ οὖν αὐτῷ βούλεται τὸ προγράψαι ἐν ἀρχῇ τοῦ βιβλίου τὸ, βραχὺν εἶναι τὸν βίον, ὡς πρὸς τὸ τῆς τέχνης μέγεθος; ἐξ ἀρχῆς γὰρ ἡμῖν τοῦτο προὔκειτο. ἔνιοι μὲν οὖν βούλονται προτροπῆς ἕνεκεν τῶν ἀσκησόντων ἀξιολόγως τὴν τέχνην, ἔνιοι δ᾽ ἀποτροπῆς, ἔνιοι δ᾽ οἷον ἀποπείρας τινὸς καὶ διακρίσεως, τῶν τε ἀσκησόντων ἀξιολόγως τὴν τέχνην καὶ τῶν μή. ἔτι δὲ τὴν αἰτίαν ἀποδιδόναι φασὶν αὐτὸν ἐν τῷδε, τοῦ δεῖν γράφειν συγγράμματα, τινὲς δὲ τοῦ ἀφοριστικά. τινὲς δὲ οἴονται τοῦ στοχαστικοῦ τῆς τέχνης ἐν τούτῳ τῷ λόγῳ τὰς αἰτίας
17b.349 αὐτὸν εἰρηκέναι, ἄλλοι δὲ παρ᾽ ὅσας αἰτίας, ἀποτυγχάνουσιν οἱ ἰατροί. οὗτοι μὲν οὖν, ἵν᾽ ἀπὸ τῶν ὑστάτων πρῶτον ἄρξωμαι, παντάπασί μοι δοκοῦσιν οὐδὲν πρὸς ἔπος ἀποφαίνεσθαι. τί γὰρ ἂν εἴη σοφὸν ἢ τῆς Ἱπποκράτους ἄξιον γνώμης, ἀρχόμενον εὐθὺς τοῦ συγγράμματος, ἢ ὅτι στοχαστικὴ τίς ἐστιν ἡ τέχνη διδάσκειν ἢ ὅτι γε τοῦ τέλους ἁμαρτάνομεν, ἤτοι δι᾽ ἡμᾶς αὐτοὺς ἢ διὰ τὸ τῆς τέχνης αὐτῆς μέγεθος; ἀλλὰ καὶ τό· δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρέοντας καὶ τὰ ἔξωθεν, τοὐναντίον ἅπαν ἐνδείκνυται. πρέπει γὰρ ταῦτα πάντα γράφειν τῷ πάντα ἐπαγγελλομένῳ, τὰ κατὰ τὸ βιβλίον ὑπάρχειν ἀληθῆ μᾶλλον ἢ ὅστις ὁμολογεῖ διὰ πολλὰς αἰτίας ἁμαρτάνειν τοῦ τέλους. οὐ γὰρ ἂν εἶπε δεῖ δέ· ἀλλὰ μετὰ τὸ γράψαι, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὰ, ἡ δὲ κρίσις χαλεπὴ, προσέθηκεν ἂν καὶ ὁ ἰατρὸς δὲ καὶ αὐτὸς ἁμαρτάνει καὶ οἱ ὑπηρετοῦντες αὐτοῖς. οὐ μὴν οὐδ᾽ ὅσοι φασὶν

17b.350 ἀποτρέπειν αὐτὸν, ἐξ ὧν τὸν μὲν βίον εἶπε βραχὺν, τὴν δὲ τέχνην μακρὰν, οὐδ᾽ οὗτοί μοι δοκοῦσι προσηκόντως λέγειν. ἐσχάτης γὰρ ἠλιθιότητος, ἅμα τε γράφειν συγγράμματα καταλείποντα τοῖς μετ᾽ αὐτὸν ἀνθρώποις ὡς δή τι χρήσιμον, ἅμα τε κατὰ τὴν ἀρχὴν εὐθὺς ἀποτρέπειν, οὐκ ἀπὸ τῆς τοῦδε τοῦ συγγράμματος ἀναγνώσεως ἢ μαθήσεως τῶν γεγραμμένων, ἀλλὰ καὶ τῆς ὅλης τέχνης ἣν ἐπαγγέλλεται διδάσκειν. ὅσοι δὲ προτρέπειν φασὶν αὐτὸν ἐπὶ τὸ φιλοπόνως ἀναλαμβάνειν τὴν τέχνην, μὴ γὰρ ἂν ἄλλως αὐτὴν δυνηθῆναι γνωσθῆναι πᾶσαν, ἐν βραχεῖ χρόνῳ, μακρὰν οὖσαν, εἰ καὶ ἀληθές τι λέγουσιν, ἀλλ᾽ οὐκ ἄξιόν γέ μοι δοκοῦσι τὸ προοίμιον ἀποφαίνειν, οὔτε τῆς γνώμης τἀνδρὸς οὔτε τῶν κατὰ βιβλίον εἰρημένων, ὥσπερ οὐδ᾽ οἱ πειραστικὸν εἶναι τῶν προσερχομένων τῇ τέχνῃ τὸν λόγον ὑπειληφότες. ἔστι μὲν γὰρ ἀληθὲς, ὥσπερ εἴρηται καὶ Πλάτωνι, τὸ πεῖραν οὕτω μάλιστα γίνεσθαι τῆς προαιρέσεως τῶν ἀναληψομένων ἡντιναοῦν τέχνην, εἰ μεγάλην τε καὶ χαλεπὴν αὐτοῖς εἶναι τὴν διδασκαλίαν ἐπιδεικνύοιμεν, ἀλλ᾽ οὔτε διὰ
17b.351 βιβλίου τὸ τοιοῦτον, ἀλλ᾽ ἐν ταῖς συνουσίας γίνεται, οὔτε πρέπον μοι δοκεῖ εἶναι ἐν τῷ παρόντι συγγράμματι. χρὴ γὰρ τὸ προοίμιον οἰκεῖον εἶναι τῶν κατὰ τὸ βιβλίον εἰρησομένων, εἰ μὴ ἄρα πρώτους ἁπάντων ἀναγινώσκεσθαι βούλεται τοὺς ἀφορισμοὺς καὶ διὰ τούτου κοινὸν ὅλης τῆς τέχνης ἐν τῷ προοιμίῳ τοῦ συγγράμματος ἐποιήσατο τὸν λόγον ἐνδεικνύμενος διὰ τούτου, μὴ πάντων τῶν βουληθέντων εἶναι μάθημα τὴν ἰατρικὴν μακρὰν οὖσαν τέχνην, ἀλλὰ τῶν καὶ χρόνον ἱκανὸν ἐχόντων ἐν ᾧ μαθήσονται καὶ φύσιν ἐπιτηδείαν. εἰ δ᾽ ὅλως πιθανὸν εἶναι δόξειε τὸ κοινὸν ἁπάσης τῆς τέχνης αὐτὸν πεποιῆσθαι τὸ προοίμιον, οὐδ᾽ ἐκείνους ἄν τις μέμψοιτο τοὺς φάσκοντας αἰτίαν ἀποδίδοσθαι τοῦ συγγράφειν. ἐποιήσατο δὲ ἐν τῷ κατ᾽ ἰητρεῖον ἁπασῶν τῶν ἀναγνώσεων προοίμιον κοινὸν, ὡς ἐν τῇ κατ᾽ ἐκεῖνο τὸ βιβλίον ἐξηγήσει δείκνυται. ὅσοι τοίνυν ἢ τοῦ τρόπου τῆς διδασκαλίας ἢ ὅλως τῆς χρείας τῶν συγγραμμάτων αἰτίαν ἀποδίδοσθαι κατὰ τὸ προοίμιόν φασιν, οὗτοί μοι δοκοῦσιν ἄμεινόν τι τῶν ἄλλων γινώσκειν. τό τε γὰρ ἀφοριστικὸν εἶδος
17b.352 τῆς διδασκαλίας, ὅπερ ἐστὶ τὸ διὰ βραχυτάτων ἅπαντα τὰ τοῦ πράγματος ἰδία περιορίζειν, χρησιμώτατον τῷ βουλομένῳ μακρὰν τέχνην διδάξαι ἐν χρόνῳ βραχεῖ· τό τε ὅλως διὰ τοῦτο συγγράφειν, ὅτι ὁ βίος βραχύς ἐστιν,

ὡς πρὸς τὸ τῆς τέχνης μέγεθος εὐλογώτατον. οὐδεὶς γὰρ ἡμῶν ἱκανός ἐστι συστήσασθαί τε ἅμα καὶ τελειῶσαι τὴν τέχνην, ἀλλ᾽ ἀγαπητὸν εἰ πολλοῖς ἔτεσι τὰ τῶν ἔμπροσθεν οἱ μετέπειτα παραλαμβάνοντες καί τι προστιθέντες αὐτοὶ συντελέσαιμέν ποτε αὐτήν. ἤτοι γὰρ διὰ θάτερον τούτων ἢ δι᾽ ἄμφω δοκεῖ μοι τοιούτῳ τινὶ κεχρῆσθαι τῷ προοιμίῳ, ὡς εἰ καὶ οὕτως ἔγραψεν· ἐπειδὴ τὸ τῆς τέχνης μέγεθος ὑπὲρ τὸν βίον ἐστὶ τὸν ἀνθρώπειον ὡς ἀδύνατον εἶναι, κἂν πάνυ τις εἴη φιλόπονος, ἄρξασθαί τε ἅμα καὶ τοῦ τέλους τοῦ κατ᾽ αὐτὴν ἐφικέσθαι. διὰ τοῦτ᾽ ἄριστόν ἐστιν, ὅσα τις ἔγνω τοῖς μετέπειτα καταλιπεῖν ἐν συγγράμμασιν, ἀκριβῶς τε ἅμα καὶ ταχέως καὶ σαφῶς ἅπασαν τὴν τῶν διδασκομένων πραγμάτων φύσιν ἑρμηνεύοντα. τοῦ μέντοι τὴν τέχνην εἶναι μακρὰν ἀπόδειξίς ἐστι τὰ
17b.353 ἐπιφερόμενα ταῦτα, ὁ δὲ καιρὸς ὀξύς, ἡ δὲ πεῖρα σφαλερή, ἡ δὲ κρίσις χαλεπή. ὡς εἰ καὶ οὕτως ἔλεγεν, ὁ βίος βραχύς, ἡ δὲ τεχνὴ μακρά, ὅτι ὁ καιρὸς καὶ ἡ πεῖρα σφαλερὴ καὶ ἡ κρίσις χαλεπή. διὰ τοῦτο γὰρ καὶ ἡ τέχνη μακρά, διότι καὶ ὁ τῶν πραττομένων καιρὸς ἐν αὐτῇ ὀξύτατός ἐστι, τουτέστι στενότατός τε καὶ ὀλιγοχρονιώτατος καὶ πρὸς τούτοις τῶν ὀργάνων τῶν εὑρισκόντων τὰ βοηθήματα δυοῖν ὄντοιν, λόγου καὶ πείρας, ἐπισφαλὴς μὲν ἡ πεῖρα, χαλεπὸς δ᾽ ὁ λόγος, τουτέστιν οὐ ῥᾴδιον δυνάμενος γνωσθῆναι θατέρῳ. ὅτι δ᾽ ἀληθές ἐστιν ἕκαστον τῶν εἰρημένων, οὐ χαλεπὸν ἐπιδεῖξαι διὰ βραχέων. ὁ μὲν γὰρ καιρὸς ὀξὺς διὰ τὴν τῆς τέχνης ὕλην, λέγω δὲ τὸ σῶμα ῥέον ἀεὶ καὶ μεταβαλλόμενον ἐν ἀκαριαίῳ χρόνῳ. ἐπισφαλὴς δὲ ἡ πεῖρα καὶ αὐτὴ διὰ τὴν ὕλην. οὐ γὰρ πλίνθοι καὶ πηλὸς καὶ ξύλα καὶ λίθοι καὶ κέραμος καὶ σκύτη, καθάπερ ἄλλων τεχνῶν ἡ ὕλη τῆς ἰατρικῆς ἐστὶν, ἐν οἷς ἄλυπον τὸ πειρᾶσθαι πολυειδῶς καὶ γυμνάζεσθαι παρὰ τὴν ὕλην ἀσκοῦντα καὶ μελετῶντα τὰ θεωρήματα, καθάπερ ἐν ξύλοις μὲν οἱ τέκτονες, ἐν δέρμασι δ᾽ οἱ
17b.354 σκυτοτόμοι. ξύλα μὲν γὰρ καὶ σκῦτος διαφθεῖραι κακῶς μεταχειριζόμενον οὐδεὶς κίνδυνος· ἐπ᾽ ἀνθρωπείου δὲ σώματος πειρᾶσθαι τῶν ἀπειράστων οὐκ ἀσφαλὲς, εἰς ὄλεθρον ὅλου τοῦ ζώου τῆς κακῆς πείρας τελευτώσης. καὶ μὴν καὶ ἡ κρίσις, ὁ λόγος δ᾽ ἂν ἡ κρίσις εἴη, τῷ κρίνεσθαι παρ᾽ αὐτοῦ τὰ ποιητέα, χαλεπὸς καὶ δυσθήρατός ἐστιν ὅ γε ἀληθὴς, ὡς δηλοῖ καὶ τὸ πλῆθος τῶν κατὰ τὴν ἰατρικὴν τέχνην αἱρέσεων. οὐ γὰρ ἂν εἴπερ οἷόν τ᾽ ἦν ῥᾳδίως εὑρεθῆναι τὸ ἀληθὲς, εἰς

τοσοῦτον ἦκον ἀντιλογίας ἀλλήλοις οἱ ζητήσαντες αὐτὸ, τοιοῦτοί τε καὶ τοσοῦτοι γενόμενοι. τοῖς δ' ἐμπειρικοῖς οὐχ ὁ λόγος εἰρῆσθαι δοκεῖ κρίσις, ἀλλ' ἡ τῶν διὰ τῆς πείρας εὑρισκομένων βοηθημάτων ἐπίκρισις. ὄντως γὰρ καὶ τοῦτο χαλεπὸν καὶ δυσθήρατον, ὅταν πολλῶν ἰαμάτων τῷ κάμνοντι γεγενημένων ἕν τι ἐξ αὐτῶν αἰτιᾶται τῆς ὠφελείας ἢ βλάβης. εἰ γὰρ οὕτως ἔτυχε κοιμηθέντος καλῶς αὐτοῦ καὶ καταιωνηθέντος ἐφεξῆς καὶ καταπλασθέντος ἐπὶ τούτῳ, κἄπειτα κλυσθέντος ἢ αὐτομάτως τῆς γαστρὸς ἐνδούσης, εἶτα καὶ τραφέντος τοιάσδε τινὰς τροφὰς, κἀπὶ
17b.355 τούτοις ἅπασιν ὠφεληθέντος ἢ βλαβέντος οὐ ῥᾴδιον εἰπεῖν διὰ τί τῶν γεγενημένων συνέβη τὸν ἄρρωστον ὠφεληθῆναι ἢ βλαβῆναι. διὰ ταῦτ' οὖν ἅπαντα ἡ κρίσις χαλεπή. συγκεφαλαιωσόμεθα γοῦν ἤδη τὸν λόγον. ἡ μὲν τέχνη μακρὰ γίνεται, ἑνὸς ἀνθρώπου παραμετρουμένη βίῳ. χρήσιμον δὲ τὸ καταλιπεῖν συγγράμματα καὶ μάλιστα τὰ σύντομά τε καὶ ἀφοριστικά· εἴς τε γὰρ αὐτὴν τὴν πρώτην μάθησιν καὶ εἰς τὴν ὧν ἔμαθέ τις ὠφεληθῆναι μνήμην καὶ εἰς τὴν ὧν ἐπελάθετό τις μετὰ ταῦτα ἀνάμνησιν ὁ τοιοῦτος τρόπος τῆς διδασκαλίας ἐπιτήδειος. ὁμολογεῖ δὲ τούτοις καὶ τὸ ἐπιφερόμενον. ὡς γὰρ ὑπὲρ τοῦ συγγράμματος αὐτοῦ καὶ τῶν κατ' αὐτὸ λεχθησομένων προοιμίου γεγονότος εἰκότως ἐπιφέρων ἐρεῖ· δεῖ δ' οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρέοντας καὶ τὰ ἔξωθεν. εἰ μέλλοι τις κρῖναι, φησὶ, ποτὲ τὰ κατὰ τὸ βιβλίον εἰς ὅσον ἀληθείας ἥκει, οὐ μόνον ἑαυτὸν
17b.356 παρεκτέον ἐστὶ, τὰ δέοντα ποιέοντα καὶ μηδὲν τῶν χρησίμων τῷ νοσοῦντι παραλείποντα, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον εὐπειθῆ τε ἅμα καὶ μηδὲν ἰδίᾳ χαριζόμενον ἡδονῇ πεφυκέναι, καὶ μέντοι καὶ τοὺς ὑπηρετοῦντας ἐπιτηδείους καὶ δὴ καὶ τὰ ἔξωθεν ἅπαντα συμπαρεσκευασμένα. καὶ γὰρ δι' ἐκεῖνα πολλάκις ἤτοι τὴν πρόγνωσιν ἢ τὴν θεραπείαν ἢ ἄμφω συνέβη διακοπῆναι, τὰ δ' ἔξωθέν ἐστι, τά τε κατὰ τὰς οἰκήσεις ἐπιτηδείους οὔσας ἢ καὶ ἐνοχλουμένας ἢ οὐκ ἐνοχλουμένας, καὶ ἔτι τὰ προσαγγελλόμενα καὶ πραττόμενα θυμὸν ἢ λύπην, ἤ τι τοιοῦτον ἕτερον ἐργαζόμενα τῷ νοσοῦντι καὶ προσέτι τὰ νύκτωρ αὐτῷ τὸν ὕπνον διακόπτοντα μυρία ἐπὶ μυρίοις ὄντα. εἰ οὖν, φησὶν, ἅπαντα ταῦτα καλῶς καὶ ἀμέμπτως ἔχει τῶν κατὰ τοῦτο τὸ βιβλίον αὐτῷ γεγραμμένων, οὐδὲν εὑρεθήσεται ψεῦδος. — — —

β′. Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως
17b.357 γινομένοισιν ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ ἡ κενεαγγείη ἢν μὲν οἵην δεῖ γίγνεσθαι, γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ μὴ τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην καὶ ὥρην καὶ ἡλικίην καὶ νούσους ἐν ᾗσι δεῖ ἢ οὔ.— — —

Οὐ περὶ ποσότητος αὐτῷ τῶν κενουμένων ἐστὶν ὁ λόγος, ὥς τινες ᾠήθησαν, ἀλλὰ περὶ τῆς ποιότητος μόνης, ὡς δηλοῖ σαφῶς ἑκάτερον τῶν ὀνομάτων, τό τε οἷα καὶ τὸ οἵη. ἐπὶ μὲν γὰρ τῶν αὐτομάτως γινομένων κενώσεων προσεῖπεν ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἐπὶ δὲ τῶν ὑπὸ τοῦ ἰατροῦ, ἢν μὲν οἷα δεῖ γίγνεσθαι, γίγνηται. καίτοι δυνάμενος εἰπεῖν, ἢν μὲν ὅσα δεῖ καθαίρεσθαι καθαίρηται, καὶ πάλιν εἰ ἢν μὲν ὅσα δεῖ γίγνεσθαι γίγνηται. δηλοῦται δὲ τοῦτο καὶ διὰ τοῦ καθαίρεσθαι ῥήματος. οὐ γὰρ ἁπλῶς εἶπεν ἢν μὲν οἷα
17b.358 δεῖ κενοῦσθαι, ἀλλὰ ἢν μὲν οἷα δεῖ καθαίρεσθαι ἔφη. καθάρσις δέ ἐστιν ἡ τῶν λυπούντων κατὰ ποιότητα κένωσις. ἔν γε δὴ τούτοις ἁμαρτάνουσιν οἱ πλεῖστοι τῶν ἐξηγητῶν, οὐ συνιέντες οὔτε τῶν φωνῶν οὔτε τῆς γνώμης τἀνδρός. ἔτι δὲ μᾶλλον ἐπειδὰν τὸ τῆς κενεαγγείας ὄνομα τινὲς μὲν ἐπὶ τῆς ἀσιτίας, τινὲς δὲ ἐπὶ τῆς φλεβοτομίας ἀκούωσιν. ὁ γὰρ Ἱπποκράτης ἅπασαν κένωσιν ὀνομάζει κενεαγγείαν ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ κενὰ τὰ ἀγγεῖα συμβαίνει γίνεσθαι κατὰ πάσας τὰς κενώσεις. ὁ μὲν δὴ λόγος αὐτῷ νῦν ἐστι περὶ ποιότητος τῶν κενουμένων. ὥσπερ δὲ παρακελεύεται διὰ παντὸς ὅσα καλῶς ὑπὸ τῆς φύσεως γίγνεται ταῦτα μιμεῖσθαι τὸν ἰατρὸν, οὕτω καὶ νῦν ἐποίησε τῶν περὶ τῶν αὐτομάτων κενώσεων προτάξας λόγον, ἐν αἷς ὅταν μὲν οἷα δεῖ κενῶνται, τουτέστι τὰ λυποῦντα ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. εἰ δὲ ἄλλων τινῶν ἡ κένωσις γένηται καὶ μὴ τῶν λυπούντων, τὸ ἐναντίον οὔτε συμφέρει καὶ δυσφοροῦσιν οἱ κάμνοντες. οὕτως οὖν εἰ καὶ ὑπὸ τοῦ ἰατροῦ κένωσίς τις ἐπιτηδεύοιτο, τῶν λυπούντων αὕτη γιγνέσθω,
17b.359 καθάπερ καὶ ἐν ἄλλοις παρακελεύεται τὸν λυποῦντα συμβουλεύων κενοῦν χυμὸν καὶ μὴ ἄλλον τινὰ πρὸ αὐτοῦ. φλέγματος μὲν οὖν πλεονάζοντος τοῦτο κενωτέον ἂν εἴη παντὶ τρόπῳ. χολῆς δὲ ξανθῆς εἴτε μελαίνης ἐνοχλούσης ἀφεκτέον μὲν τοῦ φλέγματος, τὴν λυποῦσαν δὲ

χολὴν κενωτέον. οὕτω δὲ κἂν αἱματικὸν ᾖ τὸ πλεονάζον, αἵματος τὸ ποιητέον τὴν κένωσιν καὶ δὴ καὶ εἰ ὀρρὸς αἵματος ἐκείνου. τεκμαίρεσθαι δὲ δεῖ τὸν πλεονάζοντα χυμὸν τῇ χρόᾳ, πλὴν εἴ τινες ὑποχωρήσαιεν εἰς τὸ βάθος τοῦ σώματος. τὸ γὰρ χρῶμα τῶν χυμῶν ἐοικὸς ἀνθέων ὁκόσων μὴ ἄμπωτίς ἐστιν. ἐπὶ τούτων οὖν μάλιστα τῶν ὑπονοστησάντων καὶ μὴ κεχυμένων ὁμαλῶς εἰς ὅλον τὸ σῶμα, προσεπιβλέπειν δεῖ ὥρην καὶ χώρην καὶ ἡλικίην καὶ νούσους ἐν ἧσι δεῖ ἢ οὔ· τουτέστιν ἐν αἷς προσῆκεν ἢ μὴ τοιοῦδέ τινος ἢ τοιοῦδε χυμοῦ ποιεῖσθαι τὴν κένωσιν. ἔχει μὲν γὰρ καὶ αὐτὸς ἕκαστος τῶν πλεοναζόντων ἐν τῷ σώματι χυμῶν ἴδια γνωρίσματα, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς ἐροῦμεν, οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τελείαν διάγνωσιν ἐπιβλέπειν χρὴ καὶ τὴν ἐνεστῶσαν ὥραν
17b.360 τοῦ ἔτους καὶ τὸ χωρίον ἐν ᾧ νοσοῦσιν οἱ κάμνοντες καὶ τὴν ἡλικίαν αὐτῶν καὶ τὴν ἰδέαν τῆς νόσου. ἔστω γὰρ, εἰ οὕτως ἔτυχε, χολῆς ξανθῆς ἐν τῷ σώματι πλεονεκτούσης γνωρίσματα, συνεπιβλέπειν αὐτῇ δεήσει καὶ εἰ ὥρα θερινὴ καὶ εἰ τὸ χωρίον θερμὸν καὶ εἰ ὁ κάμνων ἀκμάζων. οὕτω δὲ καὶ ἐπὶ τοῦ φλέγματος, εἰ χειμὼν εἴη, εἰ τὸ χωρίον ψυχρὸν, εἰ πρεσβύτης ὁ ἄνθρωπος· ἀλλὰ καὶ πρὸς τούτοις ἅπασιν, αὐτὸ τὸ εἶδος τῆς νόσου ἐπιβλεπτέον, οἷον ὅτι τριταῖος μὲν, εἰ οὕτως ἔτυχεν, ὑπὸ τῆς ξανθῆς χολῆς ἐπικρατούσης γίνεται, τεταρταῖος δ’ ὑπὸ τῆς μελαίνης, ἀμφημερινὸς δὲ ὑπὸ τοῦ φλέγματος, καὶ καρκίνος μὲν ὑπὸ τῆς μελαίνης χολῆς, ἐρυσίπελας δὲ ὑπὸ τῆς ξανθῆς, τῶν τ’ ἄλλων νοσημάτων ὡσαύτως ἕκαστον. ἐὰν γὰρ ταῦτα πάντα διορισώμεθα, βεβαιότερον ἐπὶ τὴν τοῦ λυποῦντος χυμοῦ κένωσιν ἀφιξόμεθα. πάντων οὖν ἀτοπώτατοι τῶν ἐξηγητῶν εἰσιν οἱ νομίζοντες τὸν λόγον αὐτῷ ὑπὲρ ἀσιτίας γίνεσθαι μόνης τῆς ἐν τοῖς πυρετοῖς. οὔτε γὰρ αὐτὸς ὠνόμασε πυρετοὺς ὅ τε λόγος
17b.361 ἐπὶ πάντων ἐστὶ καθόλου τῶν παρὰ φύσιν, ἐκδιδάσκων ἡμῶν σκοποὺς, οἷς προσέχοντας εὑρίσκειν προσήκει τὸ ποιὸν τῆς κενώσεως, οὐ τὸ ποσόν. ὁ γὰρ ἐφεξῆς ἀφορισμὸς ὑπὲρ τοῦ ποσοῦ διαλέγεται. κατὰ τίνα δὲ καιρὸν τοῦ νοσήματος ἐπιχειρεῖν δεῖ τῇ κενώσει καὶ τίνι τρόπῳ ποιητέον αὐτὴν ἐν ἄλλοις ἀφορισμοῖς ἑξῆς ἐρεῖ. ὅθεν οὐδ’ ἐμοὶ νῦν ἀναγκαῖόν ἐστι λέγειν περὶ αὐτῶν. οὕτω γὰρ ἂν οὐδὲν μὲν εἴην σοφώτερος διδάσκων, εἰς μῆκος δὲ λόγων οὐκ ἀναγκαῖον ἐκτείνων τὰ ὑπομνήματα.

— — —

γ′. Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ᾽ ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ οὐδὲ ἀτρεμέειν. ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐδέ τι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα. μηδὲ τὰς
17b.362 ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γὰρ, ἀλλ᾽ ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσεις αἱ ἐς τὸ ἔσχατον ἄγουσαι σφαλεραί· καὶ πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί.— — —

Τὸν μὲν πρὸ τούτου λόγον αὐτῷ περὶ ποιότητος εἶναι ἐδείξαμεν τῶν κενουμένων. ἐν τούτῳ δὲ καὶ τοῖς ἐφεξῆς περὶ ποσότητος βούλεται διδάσκειν καὶ ἄρχεταί γε παρὰ τῆς ἀμέτρου πληρώσεώς τε καὶ κενώσεως ἐν τῷδε τῷ νῦν ἡμῖν προκειμένῳ ἀφορισμῷ, ὁμοίως τῷ πρόσθεν ὑποθέμενός τι παράδειγμα καὶ πρὸς τοῦτο κατευθύνων τὸν λόγον, ὥσπερ ἔθος αὐτῷ. τὸ παράδειγμα δὲ αὐτῷ ἐστιν ἡ γυμναστικὴ εὐεξία. γυμναστικὴν δὲ εὐεξίαν ὀνομάζει τὴν τῶν αὐτὸ τοῦτο ἔργον πεποιημένων, κατὰ τὸν βίον ἅπαντα διατριβὴν ἐν γυμνασίοις, τοῦ καταβάλλειν ἑτέρους ἕνεκα, καθάπερ οἱ ἀθληταί. ἡ μὲν γὰρ ἁπλῶς εὐεξία λεγομένη ἦν καὶ τῶν ἀγροίκων ἔχουσι πολλοὶ, σκάπτοντες καὶ
17b.363 θερίζοντες καὶ ἄλλα ὅσα κατὰ τὸν βίον διαπονούμενοι οὐχ ἥκει μέχρι πληρώσεως ἀμέτρου. τῆς δὲ τῶν ἀθλητῶν εὐεξίας οὐ μικρὸν τοῦτό ἐστιν ἔγκλημα τὸ περιβάλλεσθαι πειρᾶσθαι μέγεθος ὄγκου κατὰ τὸ σῶμα καὶ δηλονότι καὶ πλῆθος χυμῶν. παρασκευαὶ γὰρ αὗται τῆς τοῦ παντός εἰσι σώματος θρέψεως καὶ οὐχ οἷά τε χωρὶς αὐτῶν ἑτοίμως παρεσκευασμένων εἰς ὄγκον ἀρθῆναι τοῦ δέοντος μείζονα τὰ σώματα, διὸ καὶ σφαλερὰν ἀναγκαῖον εἶναι τὴν τοιαύτην διάθεσιν. ὅταν γὰρ ὑπερπληρωθῇ τὰ ἀγγεῖα ποτῶν ἢ σιτίων, τοῦ διαρραγῆναι κίνδυνος αὐτοῖς ἢ καταπνιγῆναι ἢ καὶ σβεσθῆναι τὸ ἔμφυτον αὐτὸ θερμὸν, καθάπερ καὶ ἀπώλοντό τινες ἐξαιφνίδιον ἤδη τῶν εἰς ἄκραν πλήρωσιν ἀφικομένων ἀθλητῶν. ἡ δ᾽ εἰς τὰ κατὰ φύσιν ἔργα χρήσιμος εὐεξία τοιοῦτον οὐδένα κίνδυνον ἐφεδρεύοντα κέκτηται, τὸ μηδ᾽ εἰς ἄκρον ἥκειν ποτὲ τῆς πληρώσεως, ὅθεν οὐδὲ λύειν αὐτὴν προσήκει, καθάπερ τὴν τῶν ἀθλητῶν, ὅταν εἰς ἄκρον ἥκῃ. ταύτην γὰρ χρὴ λύειν μὴ

17b.364 βραδέως, ἀλλὰ φθάνειν δηλονότι τὸν κίνδυνον. τὴν αἰτίαν δὲ αὐτὸς τοῦ χρῆναι λύειν αὐτὴν τοιαύτην ἔγραψεν· οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ οὐδ' ἀτρεμέειν εἰπών· ἀεὶ γὰρ τῆς φύσεως τὴν πέψιν καὶ τὴν ἀνάδοσιν καὶ τὴν ἐξαιμάτωσιν καὶ τὴν πρόσθεσιν καὶ τὴν πρόσφυσιν καὶ τὴν ἐξομοίωσιν ἐργαζομένης, ὅταν μήτε προσθεῖναί τι τοῖς στερεοῖς τοῦ σώματος μορίοις ἐγχωρεῖ μήθ' αἱ φλέβες ἔτι χώραν ἔχωσιν ὑποδέχεσθαι τὴν ἀναδιδομένην τροφὴν, ἀνάγκη κίνδυνον καταλαβεῖν ἢ ῥήξεως ἀγγείου τινὸς ἢ ἐξαιφνιδίου θανάτου. ἵνα οὖν ἔχῃ χώραν αὖθις ἀνατρέφεσθαι τὸ σῶμα, λύειν χρὴ μὴ βραδέως τὴν εὐεξίαν. ἡ λύσις δ' αὐτῆς κένωσίς ἐστι δηλονότι καὶ χρὴ ταύτην οὐδ' αὐτὴν ἀμέτρως ποιεῖσθαι. καὶ γὰρ καὶ τοῦτο σφαλερὸν, οὐχ ἧττον ἀμέτρου πληρώσεως. σκοπὸς δὲ τοῦ ποσοῦ τῆς κενώσεως οὐ τὸ πλεονάζον μόνον, ἀλλὰ καὶ ἡ φύσις ἂν εἴη, τουτέστιν ἡ δύναμις τοῦ κενουμένου ἀνθρώπου. ἄλλοι γὰρ ἄλλως εἰώθασι φέρειν μᾶλλον τὰς κενώσεις. ταῦτα μὲν οὖν αὐτῷ περὶ τῆς ἀθλητικῆς εὐεξίας εἴρηται καὶ αὐτὰ μὲν καθ' ἑαυτὰ χρήσιμα τοῖς
17b.365 βουλομένοις τὴν ἐπιτήδευσιν ἐκείνην μετέρχεσθαι καὶ τοῖς ἰατροῖς δὲ ὡς παράδειγμα τοῦ λόγου τοῦ μέλλοντος λεχθήσεσθαι. φησὶ γὰρ, ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ εἰς τὸ ἔσχατον ἄγουσαι σφαλεραὶ καὶ πάλιν αἱ ἀναλήψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραὶ, τοιοῦτόν τι βουλόμενος ἐνδείξασθαι καθ' ὅλον τὸν λόγον, ὡς ὅτι οὔτε κενοῦν οὔτε πληροῦν ὑπερβαλλόντως προσήκει. μάθοιμεν δ' ἂν τοῦτο μάλιστα παρὰ τῆς ἀθλητικῆς εὐεξίας, ἧς καίτοι τἄλλα κεκτημένης οὐ μεμπτά. καὶ γὰρ καὶ εὔχυμοι καὶ ἰσχυροὶ ταῖς δυνάμεσίν εἰσιν οἱ γυμναστικοὶ, ὅμως τοῦτό γε αὐτὸ μέγιστόν ἐστιν αὐτοῖς κακὸν, τὸ εἰς ἄκρον ἥκειν πληρώσεως. διὸ καὶ λύεσθαι δεῖται συντόμως, ὥσπερ αὖ πάλιν οὐδ' εἰς ἔσχατον ἄγειν χρὴ κενώσεως τοὺς τοιούτους· οὕτως οὐδὲ τοὺς ἄλλης δεομένους ἡστινοσοῦν κενώσεως ὑπερκενοῦν προσήκει. καθόλου γὰρ εἰπεῖν ἐν πάσῃ κενώσει στοχάζεσθαι προσήκει τῆς δυνάμεως καὶ μέχρις ἂν ἀντέχῃ καὶ μὴ κάμνῃ, πειρᾶσθαι τὸ περιττὸν ἀπάγειν, καταλυομένης δὲ, κἂν ἔτι λείπηταί τι τῶν
17b.366 περιττῶν, φυλάττεσθαι χρὴ τὴν κένωσιν. τὸ δὲ καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραὶ, εἰ μὲν ἀνταποδώσειν μέλλοι τις τῷ παραδείγματι τὸν λόγον, ὡς μὴ γενέσθαι κολοβὸν, ἐπὶ τῆς ἐσχάτης πληρώσεως εἰρῆσθαι δόξει, παραινοῦντος αὐτὴν φυλάττεσθαι καὶ μὴ

μέχρι τοσοῦτον τὰς ἀναθρέψεις ποιεῖσθαι τῶν σωμάτων, μέχρις ἂν εἰς τὸ ἔσχατον ἀφίξωνται τῆς πληρώσεως. εἰ δὲ τῷ τῆς λέξεως σχήματι προσέχοις τὸν νοῦν, ὥσπερ ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον περὶ τοῦ αὐτοῦ πράγματος, δὶς αὐτὸν ἐπινοήσειε λέγειν ἑτέρως καὶ ἑτέρως. ὅταν μὲν οὖν εἴπῃ, ὡσαύτως καὶ αἱ κενώσιες αἱ εἰς τὸ ἔσχατον ἄγουσαι σφαλεραὶ, κατ᾽ αὐτὸ τοῦτο μόνον φεύγειν κελεύοντα τὰς ἀμέτρους κενώσεις, ὅτι καὶ αἱ ἀναθρέψεις αἱ ἀπ᾽ αὐτῶν οὐκ ἀσφαλεῖς εἰσιν, ὡς ἂν ἀσθενοῦς γεγενημένης τῆς φύσεως καὶ μήτε πέπτειν ἱκανῶς μήτ᾽ ἀναδιδόναι μήτ᾽ ἐξομοιοῦν δυναμένης, παραλελείψεται δὴ φανερῶς, ἐὰν οὕτω τις δέξηται, θάτερον αὐτῷ μέρος τῆς διδασκαλίας, τὸ περὶ τῆς
17b.367 ἄκρας πληρώσεως, καὶ μάτην ἔσται τῆς γυμναστικῆς εὐεξίας μεμνημένος. καὶ μὲν δὴ καὶ αὐτὸ τοῦτο τὸ προκείμενον ὄνομα κατὰ τὴν λέξιν, τὸ πάλιν, ἐνδείκνυσθαί μοι δοκεῖ τὴν εἰρημένην γνώμην, εἰπόντος αὐτοῦ καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί. ὥσπερ γὰρ ὑπὲρ ἄλλου πράγματος τὸν λόγον ποιούμενος οὕτως ἐμνημόνευσε τὸ καὶ πάλιν. — — —

δ′. Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται καὶ ἐν τοῖσι μακροῖσιν ἀεὶ πάθεσι καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί. καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται χαλεπαί. καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι χαλεπαί.— — —

Ἐν τῷ πρόσθεν ἀφορισμῷ περὶ πάσης καθόλου διαλεχθεὶς ἀμέτρου πληρώσεώς τε καὶ κενώσεως, ἐν τούτῳ περὶ τῆς τῶν νοσούντων διαίτης
17b.368 διεξέρχεται, κελεύων ἡμᾶς ἐν μὲν τοῖς μακροῖς ἀεὶ πάθεσι φυλάττεσθαι τὰς λεπτὰς διαίτας, ἐν δὲ τοῖς ὀξέσιν οὐκ ἀεί. φαίνεται γὰρ τὰ πλεῖστα τούτων λεπτῆς διαίτης δεόμενα, ἔνια δὲ αὐτῶν καὶ τῆς ἐσχάτης λεπτῆς. εἴη δ᾽ ἂν ἐσχάτως μὲν λεπτὴ δίαιτα ἡ δι᾽ ἀσιτίας μόνης ἢ μελικράτου μέχρι κρίσεως προϊοῦσα. λεπτὴ δὲ δι᾽ ὀλίγων ἐδεσμάτων ἢ δι᾽ ὀλιγοτρόφων, οἷόν περ καὶ ὁ τῆς πτισάνης ἐστὶ χυλός. ὅρος δ᾽ αὐτῆς ἡ τῆς δυνάμεώς ἐστι καθαίρεσις, ἧσπερ ἕνεκα καὶ τρέφομεν. ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων ἀεὶ χρὴ τὴν ῥώμην τῆς δυνάμεως φυλάττειν ἢ παραύξειν ταῖς τροφαῖς, οὐ καθαιρεῖν. καὶ εἴη ἂν ἡ μὲν παραύξουσα τροφὴ ἁδρὰ, ἡ δὲ φυλάττουσα σύμμετρος, ἡ δὲ καθαιροῦσα λεπτή. ταύτην

μὲν οὖν φεύγειν χρὴ ἀεί. τῶν δ᾽ ἄλλων ὁποτέρας ἂν δέηται τὰ παρόντα, χρῆσθαι ταύτῃ. ἐπὶ δὲ τῶν νοσούντων σπάνιον μὲν ἐνίοτε τὴν δύναμιν ἰσχυροτέραν ἧς παρελάβομεν ἐργάζεσθαι, σπεύδομεν δὲ ὡς τὰ πολλὰ, φυλάττειν μὲν ἐν τοῖς χρονίοις μετρίως δὲ καθαιρουμένην διασώζειν ἐν τοῖς ὀξέσιν. εἰ γὰρ ἤτοι φυλάττειν αὐτὴν οἵαν παρελάβομεν ἐν τούτοις ἢ
17b.369 προσαύξειν ἀεὶ σπεύδομεν, αὐξήσομεν τὴν νόσον. τίνα δ᾽ ἐστὶν ὀξέα νοσήματα, τὰ δεόμενα τῆς ἐσχάτως λεπτοτάτης διαίτης καὶ τίνα λεπτοτάτης μὲν, οὐ μὴν ἐσχάτως, καὶ τίνα τὰ λεπτῆς, ἐπὶ πλέον μὲν ἐν τῷ περὶ διαίτης ὀξέων, ὃ καὶ περὶ πτισάνης ἐπιγράφουσί τινες, ὁ Ἱπποκράτης ἐδίδαξε· καὶ ἡμεῖς δὲ ἐν ταῖς εἰς ἐκεῖνο τὸ βιβλίον ἐξηγήσεσι τὸν ἅπαντα λόγον ἐξειργασάμεθα. νυνὶ δὲ ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐφ᾽ ὧν μὲν ἂν νοσημάτων ἡ ἀκμὴ καὶ ἡ κρίσις ἐν τῇ πρώτῃ μέλλῃ γενέσθαι τετράδι, τῆς δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης ἐπὶ ἀσιτίας παντελοῦς τούτους φυλάξομεν, ὅπερ ἐστὶν ἐσχάτως λεπτοτάτης διαίτης. ἐφ᾽ ὧν δὲ μὴ ἐξώτερον τῆς πρώτης ἑβδομάδος, ἰσχυρᾶς οὔσης τῆς δυνάμεως, ἀρκέσει μελικράτῳ μόνῳ χρήσασθαι. λεπτοτάτη δ᾽ ἂν εἴη καὶ αὕτη μόνη δίαιτα, οὐ μὴν ἐσχάτως γε· μὴ θαρροῦντες δὲ τῇ δυνάμει, πτισάνης χυλῷ χρησόμεθα, λεπτὴ δ᾽ ἂν εἰκότως ἡ τοιαύτη δίαιτα καλοῖτο, καθάπερ ἡ διὰ
17b.370 τῆς κριθώδους πτισάνης. οὐκέτι μὲν ἀκριβῶς λεπτὴ πλὴν εἰ μὴ παντελῶς ὀλίγη λαμβάνοιτο, οὐ μὴν ἥδη γε καὶ ἁδρὰ, ὥσπερ ἡ διὰ ὠῶν καὶ χόνδρου καὶ ἰχθύων καὶ ὅσα τοιαῦτα. τὸ τοίνυν οὗ μὴ ἐπιδέχεται, προσκείμενον ἐν τῷ περὶ τῶν ὀξέων λόγῳ, διὰ τὰ κατοξέα λέγεται, περὶ τούτων γὰρ αὐτὸς ἐρεῖ. ὅκου μὲν οὖν κατοξὺ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. — — —

ε′. Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται μέγα γίνεται μᾶλλον ἢ ἐν τῇσιν, ἐν ᾗσι λεπτῇσι ὀλίγον ἁδροτέρῃσι διαίτῃσι, διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσιν σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα, τῶν σμικρῶν ἁδροτέρων.— — —

17b.371 Διχῶς γράφεται δὲ καὶ ἑτέρως ἡ ἀρχὴ τοῦδε τοῦ ἀφορισμοῦ κατὰ τόνδε τὸν τρόπον· ἐν τῇσι λεπτῇσι διαίτῃσι τὰ πολλὰ ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. καί τισιν ἀρέσκει μᾶλλον ἥδε τῆς ἑτέρας ἡγουμένοις τοῦτο βούλεσθαι λέγειν τὸν Ἱπποκράτην, ὡς ἄρα ἐν ταῖς λεπταῖς διαίταις ἁμαρτάνοντες οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. τρέφεσθαι γὰρ ἀναγκάζονται λάθρα τῶν ἰατρῶν δι' αὐτὸ τοῦτο, διότι λεπτῶς ὑπ' αὐτῶν διαιτῶνται, κἀντεῦθεν μειζόνως βλάπτονται ἢ εἰ μὴ διῃτῶντο λεπτῶς. ἔτι δὲ ἁμαρτάνουσι δῆλον ὅτι καὶ ἐπ' ἀσθενεῖ τῇ δυνάμει, ὡς ἂν ἐν ταῖς ἐνδείαις προκεκμηκυίᾳ. ἀμείνων δὲ ἡ προτέρα γραφή. περιλαμβάνει γὰρ καὶ ταύτην καὶ γενικώτερον ποιεῖται τὸν λόγον, ὑπὲρ ἁπάσης ἁμαρτίας ἐκδιδάσκουσα τῆς ἀκουσίως τε καὶ ἑκουσίως συμπιπτούσης τοῖς νοσοῦσιν, ὡς εἶναι τὸν λόγον τοιοῦτον· ὅ τι ἂν ἁμάρτημα συμπέσῃ τοῖς λεπτῶς οὕτω διαιτωμένοις, σφαλερώτερον τοῦτο καθίσταται παρόσον ἥ τε δύναμις ἄρρωστος ὑπὸ τῆς τοιαύτης διαίτης γέγονεν ἥ τ' ἐπ' αὐτὴν μετάβασις ἀήθης. μαρτυρεῖ δὲ τῇ
17b.372 προειρημένῃ γραφῇ καὶ τὰ περὶ τῶν ὑγιαινόντων εἰρημένα. σφαλερὰς γὰρ ἐπ' αὐτῶν ἔφη τὰς λεπτὰς διαίτας ὑπάρχειν, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσιν, οὐχ ὅτι διὰ τὸ λεπτὸν τῆς διαίτης ἁμαρτάνειν ἀναγκάζονται. τὰ δ' ἐφεξῆς τοῦ ἀφορισμοῦ σαφῆ. — — —

στ′. Ἐς δὲ τὰ ἔσχατα νοσήματα αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται.— — —

Ἔσχατα νοσήματα κέκληκεν ὁ Ἱπποκράτης τὰ μέγιστα, μεθ' ἃ οὐκ ἔστιν ἄλλα. καὶ τοίνυν κελεύει τὴν θεραπείαν ὅλην ἐπ' αὐτῶν ἀκριβεστάτην εἶναι καὶ δηλονότι καὶ τὴν δίαιταν λεπτοτάτην. εἴη δ' ἂν πάντως ταῦτα κατόξεα καὶ διὰ τοῦτο ἐπιφέρων τὸν ἑξῆς ἀφορισμὸν ἐρεῖ· — — —

ζ′. Ὅκου μὲν οὖν κατοξὺ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους
17b.373 ἔχει καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ χρέεσθαι ἀναγκαῖον, ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἀδροτέρων διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.— — —

Ὥσπερ ἔσχατα νοσήματα τὰ μέγιστα προσηγόρευσεν, οὕτω καὶ νῦν ἐσχάτους πόνους τοὺς μεγίστους καλεῖ, πόνους δὲ ἤτοι τοὺς

παροξυσμοὺς, ἢ ἁπλῶς ἅπαντα τὰ συμπτώματα. καὶ γὰρ τοὺς παροξυσμοὺς καὶ πάνθ' ἁπλῶς τὰ συμπτώματα μέγιστα κέκτηται τὸ κάτοξυ νόσημα καὶ τὰς πρώτας ἡμέρας εὐθὺς τῆς νόσου. συνεμπίπτει γὰρ αὐταῖς ἡ ἀκμὴ οὐδὲν ἄλλο οὖσα ἢ τὸ μέγιστον τοῦ νοσήματος, ὡς ἐν συμπτώμασι. καὶ δὴ καὶ κάτοξυ νόσημα τοῦτο ἂν εἴη, τὸ αὐτίκα ἀκμάζον. αὐτίκα δ' ἀκουστέον περὶ τὴν πρώτην τετράδα ἢ μικρὸν ταύτης ἐξώτερον. προσήκει δὴ διὰ τοῦτο διαιτᾶν ἐσχάτως λεπτῶς, εἴπερ γε χρὴ ἐν ταῖς ἀκμαῖς τῶν νοσημάτων λεπτότατα διαιτᾶν, ὡς ἔν τε τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν καὶ κατ' αὐτὸν τοῦτον τὸν ἀφορισμόν. ἡ δ' ἀκμὴ
17b.374 τοῦ κατόξεος νοσήματος εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἐστίν. ὅτι δ' εὔλογον ἐν ταῖς ἀκμαῖς λεπτοτάτως διαιτᾶν, ἐπὶ πλέον μὲν ἐν ἑτέροις ἡμῖν δέδεικται. ἀρκέσει δὲ τό γε νῦν τοσοῦτον εἰπεῖν, ὡς εἴ γε διὰ τὰς φλεγμονὰς ἢ τοὺς πυρετοὺς τοὺς ἀχωρίστους τῶν ὀξέων νοσημάτων, δέδιέ τις διδόναι τροφὰς ἀξιολόγους, ἐν ταῖς ἀκμαῖς τοῦτο μᾶλλον ποιεῖν εὐλαβηθήσεται. μέγισται γὰρ δὴ αἱ φλεγμασίαι τηνικαῦτά εἰσιν, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἔλεγε φλεγμασίας. εἴτ' οὖν τὰς ἰδίως ὀνομαζομένας φλεγμονὰς ἐθέλοι τις ἀκούειν εἴτε συμπεριλαμβάνειν αὐταῖς καὶ τοὺς πυρετοὺς κατὰ τὸ παλαιὸν ἔθος τῆς λέξεως, ἔτι τε πρὸς τούτοις ἄμεινον ἐπιτρέψαι τῇ φύσει, σχολάζειν τῇ πέψει τῆς νόσου κατὰ τὰς ἀκμὰς καὶ μὴ περιέλκειν αὐτὴν εἰς τὴν τῶν ἄρτι ληφθέντων σιτίων κατεργασίαν. διὰ ταῦτα μὲν δὴ κατὰ τὰς ἀκμὰς διαιτᾶν χρὴ λεπτότατα. ἐπεὶ δὲ τοῦτο ὑπόκειται, τοὐντεῦθεν ἤδη τοῖς μὲν ἄλλοις νοσήμασιν, ὅσα τὴν ἀκμὴν ἐς ὕστερον ἀπολήψεσθαι μέλλει τὴν ἐσχάτως λεπτοτάτην δίαιταν, οὐχ οἷόν τε προσάγειν εὐθὺς ἀπ' ἀρχῆς. φθάσει γὰρ οὕτως
17b.375 ἀποθανεῖν ὁ ἄνθρωπος, πρὶν εἰς τὴν ἀκμὴν ἀφικέσθαι. ἐν οἷς δ' ἂν αὐτίκα ἡ ἀκμὴ, τουτέστι κατὰ τὴν πρώτην τετράδα μέλλει γίνεσθαι, δυνατὸν ἐν τούτοις τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ χρῆσθαι, φερούσης τῆς δυνάμεως καὶ ἀσιτίαν παντελῆ καὶ μελικράτου μόνου προσφορὰν καὶ χυλὸν πτισάνης ὀλίγον παντελῶς. τοιαύτη μὲν οὖν τις ἡ λεπτοτάτη δίαιτα. ἡ δὲ ταύτης ἧσσον λεπτὴ, ἣν καὶ ἁδροτέραν ὠνόμασε, τῶν ἐξ ὑστέρου μελλόντων ἀπολήψεσθαι τὴν ἀκμὴν νοσημάτων ἐστὶν, ἐφ' ὧν τοσοῦτον ὑποκαταβαίνειν τοῦ λεπτοῦ τῆς διαίτης κελεύει, ὅσον καὶ ἡ νοῦσος ἀπολείπεται τῶν ἐσχάτων, τουτέστι τῆς ἀκμῆς. ἐγγὺς μὲν γὰρ

οὔσης τῆς ἀκμῆς ὀλίγον ἀδρότερον διαιτήσομεν, ἐξωτέρω δὲ αὐτῆς πλέον ἀδρότερον. καὶ ὅσῳ ἂν πορρώτερον μᾶλλον τὴν ἀκμὴν ἔσεσθαι προσδοκήσωμεν, τοσούτῳ καὶ τὸ τῆς διαίτης ὑπαλλάξομεν σχῆμα. — — —

17b.376 η′. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.— — —

Μόριόν ἐστιν αὐτῷ καὶ οὗτος ὁ λόγος τῆς διαιτητικῆς τέχνης, ὑπ᾽ ἐνίων μὲν ἰδίᾳ γραφόμενος ἐν τῇ νῦν εἰρημένῃ λέξει, προστιθέμενος δ᾽ ὑφ᾽ ἑτέρων τῷ πρόσθεν ἀφορισμῷ, καθότι προγέγραπται. διδάσκει δὲ ἡμᾶς, ὅπως ἂν ᾖ γεγραμμένος ἔν τε καὶ ταὐτὸν θεώρημα κελεύοντος τοῦ παλαιοῦ τῷ λεπτοτάτῳ τῆς διαίτης ἐν τῷ τῆς ἀκμῆς χρῆσθαι καιρῷ, διά τε τὸ μέγεθος δηλονότι τῶν συμπτωμάτων καὶ τὴν πέψιν τοῦ νοσήματος. οὐ γὰρ χρὴ περιέλκειν τὴν φύσιν εἰς ἑτέραν πέψιν πρόσφατον ἐγκειμένην ἰσχυρῶς τῇ πέψει τῶν νοσοποιῶν χυμῶν ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ μέλλουσάν γε ὅσον οὔπω κρατήσειν αὐτῶν. οὕτω γὰρ ἡμῖν ἐπιδέδεικται κἀν τῇ περὶ κρίσεων πραγματείᾳ κατ᾽ ἐκεῖνα δηλονότι τὰ νοσήματα τοῦ λόγου παντὸς ἀνυομένου, ἐφ᾽ ὧν ὅλως ἐγχειροῦμεν διαίτῃ
17b.377 τε καὶ θεραπείᾳ. ταῦτα δ᾽ ἐστὶν ἐν οἷς τὴν ἀκμὴν ἐκδέχεται παρακμή, ὡς ἐφ᾽ ὧν γε θάνατος ἀκμαζόντων ἀκολουθεῖ, τῷ προγνωστικῷ μέρει τῆς τέχνης προσχρώμεθα μόνῳ, προλέγοντες τὸ γενησόμενον, ὅπως ἀναίτιοι τῶν ἀποβησομένων εἴημεν. αὕτη μὲν οὖν σοι μία περὶ τῶν καιρῶν τοῦ νοσήματος ἔνδειξις εἰς τὸ τῆς διαίτης εἶδος· ἑτέρα δ᾽ ἀπὸ τῆς δυνάμεως ἣν κατὰ τὸν ἑξῆς ἀφορισμὸν διδάσκει. — — —

θ′. Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.— — —

Ἐπειδὴ κατὰ τὸν ἔμπροσθεν ἀφορισμὸν τοσοῦτον ὑποκαταβαίνειν ἐκέλευσε τῆς ἐσχάτως λεγομένης λεπτῆς διαίτης, ὁπόσον ἂν χρόνον ἡ
17b.378 νόσος μαλακωτέρα τῆς ἀκμῆς ᾖ, νῦν ἐνταῦθα προστίθησιν ἕτερον σκοπὸν εἰς ἀκριβείαν τοῦ τὸ ποσὸν λαβεῖν τῆς ὑποκαταβάσεως. ἔστι δὲ ὁ σκοπὸς οὗτος ἡ δύναμις, ἧς ἕνεκα καὶ τρέφειν ἐστίν. οὐ γὰρ δὴ τοῦ

νοσήματος αὐτοῦ χάριν. ὅταν μὲν γὰρ οὕτως ἔχει ῥώμης ὡς ἐλπίζειν ἡμᾶς ἐξαρκέσαι τῷ μεταξὺ χρόνῳ παντὶ μέχρι τῆς ἀκμῆς, ἐπὶ τῷ τοιῷδε σχήματι τῆς διαίτης ἔχοιμεν ἂν ἤδη τὸ ποσὸν ἀκριβῶς. ἂν δ' ἀσθενεστέρα φαίνηται, προσθετέον τι τῇ διαίτῃ καὶ ἁδρότερον διαιτητέον εἰς τοσοῦτον εἰς ὅσον ἂν ἡ τῆς δυνάμεως ἀσθένεια κελεύῃ. διὰ τοῦτο γοῦν ποτε καὶ κατ' αὐτὴν τὴν ἀκμὴν ἐπιγενόμενον συμπτώματος ἐκλυτικοῦ τῆς δυνάμεως ἀναγκαζόμεθα τρέφειν. μέρος δ' ἂν εἴη καὶ οὗτος ὁ λόγος τοῦ περὶ διαίτης παντὸς καὶ εἴ τις ἕνα τὸν σύμπαντα τοῦτόν τε καὶ τὸν προειρημένον καὶ τὸν ἐφεξῆς μέλλοντα ῥηθήσεσθαι ποιήσειεν, οὐχ ἁμαρτήσεται. ἐγὼ δ' εἰς μόρια τέμνων ἐξηγοῦμαι εἰς ὅσον δύναμαι σαφηνείας ἕνεκα. — — —

17b.379 ι′. Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾶν. ὁκόσοισι δὲ ὕστερον ἡ ἀκμὴ ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου σμικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιωτέρως διαιτᾶν ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.— — —

Καὶ οὗτος ὁ λόγος τῆς αὐτῆς ἔχεται γνώμης. εἴρηται δὲ καθολικώτερον τοῦ πρόσθεν. ἔμπροσθεν μὲν γὰρ ἐπὶ κατοξέων τῶν νοσημάτων ἔλεγεν, ὡς αὐτίκα τῇ λεπτοτάτῃ διαίτῃ χρηστέον ἐπ' αὐτῶν. ἐν ταύτῃ δὲ ἁπλῶς ἀποφαίνεται περὶ πάντων τῶν νοσημάτων, ὧν αὐτίκα ἡ ἀκμὴ, τουτέστιν οὐ μετὰ πολὺ τῆς πρώτης εἰσβολῆς, ταύτῃ κελεύων λεπτῶς διαιτᾶν. τὰ δ' ἐφεξῆς δῆλα τῆς αὐτῆς ἐχόμενα γνώμης. — — —

17b.380 ια′. Ἐν δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή. τὸ προστιθέναι γὰρ βλάπτει. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.— — —

Τὸ μὲν τῆς ὅλης διαίτης εἶδος ἐν ἑκάστῳ τῶν νοσημάτων ἀπὸ δυοῖν σκοποῖν ἐκέλευσεν ἡμᾶς λαμβάνειν, ἔκ τε τῆς μελλούσης τοῦ ὅλου νοσήματος ἀκμῆς καὶ τῆς τοῦ κάμνοντος δυνάμεως. ὡς δ' ἄν τις καὶ τὰς κατὰ μέρος προσφορὰς ποιοῖτο προσηκόντως ἐν τῷδε λόγῳ διδάσκει, τοὺς παροξυσμοὺς ἀξιῶν φυλάττεσθαι. σαφέστερον δὲ αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων εἶπεν, ὡς ἂν μήτ' ὄντων ἤδη μήτε ὅσον οὔπω μελλόντων ἔσεσθαι τῶν παροξυσμῶν διδῶμεν τροφὰς, ἀλλὰ δηλονότι δεῖ διδόναι παρακμαζόντων τε καὶ παυομένων. — — —

ιβ′. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι καὶ
17b.381 αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀνταποδόσιες ἤν τε καθ’ ἡμέρην ἤν τε παρ’ ἡμέρην ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου, βραχὺν, ἢν δ’ ὕστερον ἐπιφαίνηται, μηκύνει· καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτες καὶ δύσκριτα καὶ εὔκριτα καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.— — —

Εἰ τῶν ἔμπροσθεν εἰρημένων αὐτῷ περὶ διαίτης ἀναμνησθείημεν, ἐναργεστέρα ἡμῖν ἡ χρεία φανεῖται νῦν τῶν λεγομένων. τὰ δὲ προειρημένα ταῦτά ἐστιν. τὸ μὲν τῆς ὅλης διαίτης σχῆμα πρὸς δύο σκοποὺς ἀποβλέπων ἐποιεῖτο, τήν τε δύναμιν τοῦ κάμνοντος καὶ τὴν κατάστασιν τοῦ νοσήματος. τὸ γὰρ εἴτε κάτοξυ εἴτε ὀξὺ εἴτε χρόνιον ἔσοιτο τὸ νόσημα καὶ ὁπηνίκα μάλιστα τὴν ἀκμὴν ἀπολήψοιτο, τὴν κατάστασίν ἐστι τοῦ νοσήματος σκοπεῖν. τὰς δὲ κατὰ μέρος προσφαρὰς
17b.382 τῶν σιτίων τοῖς κατὰ μέρος παροξυσμοῖς ἐτεκμαίρετο. τριῶν οὖν ὄντων σκοπῶν εἰς τὸ τελέως καὶ ἀνελλιπῶς διαιτᾶν, πρώτου μὲν τῆς δυνάμεως τοῦ κάμνοντος, δευτέρου δὲ τῆς καταστάσεως τοῦ νοσήματος, ἐπ’ αὐτοῖς δὲ τρίτου τῶν κατὰ μέρος παροξυσμῶν, τὴν μὲν δύναμιν οἷόν τέ ἐστιν εὐθὺς εἰσελθόντα διαγινώσκειν, ἀπὸ τῶν σφυγμῶν δηλονότι καὶ τῶν ἄλλων, ἅπερ αὐτὸς ἐν τῷ προγνωστικῷ διῆλθεν. ὅθεν οὐδὲ ἀδύνατον ἔφησέ τις εἶναι διαγνῶναι μέγεθος δυνάμεως. ἀλλ’ εἰ καὶ μὴ δυνατὸν ἀκριβῶς αὐτῆς ἐξευρεῖν τὸ ποσὸν, τῷ τεχνικῷ γοῦν στοχασμῷ πλησίον ἀφικνεῖσθαι συγχωροῦσιν ἅπαντες. τὴν δὲ τοῦ νοσήματος κατάστασιν ὁποία τις ἔσται καὶ τοὺς κατὰ μέρος παροξυσμοὺς πολλοῖς τῶν ἰατρῶν ἀδύνατον ἔδοξε διαγνῶναι, οὐ μὴν Ἱπποκράτει γε. ἀλλὰ κἀνταῦθα καθάπερ ἐπὶ τῶν ἄλλων, πολλάκις μὲν ἀκριβῶς καὶ ὡς ἂν εἴπῃ τις ἐπιστημονικῶς, πολλάκις δὲ στοχαστικῶς μὲν, ἀλλ’ οὐκ ἀτέχνως, οὐδὲ πόρρῳ τῆς ἀληθείας, ἀλλ’ ἐγγὺς καὶ πλησίον ἀφιξόμεθα, τήν τε μέλλουσαν ἀκμὴν προγινώσκοντες καὶ τὰς ἀνταποδόσεις τῶν
17b.383 παροξυσμῶν. ἐπὶ πλέον μὲν οὖν αὐτὰ διά τε τοῦ προγνωστικοῦ καὶ διὰ τῶν ἐπιδημιῶν ἐκδιδάσκει καὶ ἡμεῖς κατὰ τὴν γνώμην τοῦ παλαιοῦ μετὰ τῆς προσηκούσης ἐξηγήσεως τὰς ῥήσεις αὐτοῦ παρεθέμεθα κατὰ τὸ πρῶτον περὶ κρίσεων, δεικνύντες ὅπως ἄν τις μάλιστα δύναιτο

προγινώσκειν τὴν μέλλουσαν ἀκμήν. νυνὶ δὲ διὰ κεφαλαίων αὐτοῦ τῷ Ἱπποκράτει λέλεκται τὸ πᾶν, ἡμεῖς τε καθόσον οἷόν τε διὰ συντόμων αὐτὰ σαφηνιοῦμεν. οἷς δὲ φροντὶς ἐπιμελῶς ἐκμαθεῖν ἅπασαν τὴν περὶ ταῦτα μάθησιν, ἐπὶ τὸ περὶ κρίσεων ὑφ' ἡμῶν γεγραμμένον πορευέσθωσαν. αὗταί τε αἱ νόσοι καὶ τὰς τῶν παροξυσμῶν ἀναλογίας δηλώσουσι καὶ τὰς ἑαυτῶν δὲ καταστάσεις οὐδὲν ἧττον. οἷον ἐν μὲν τοῖς διαλείπουσιν, ὅτι ὁ μὲν τριταῖος ταχυκρίσιμος, ὁ δ' ἀμφημερινὸς ὅτι χρόνιος, ὁ δὲ τεταρταῖος ἔτι καὶ τοῦδε χρονιώτερος. ἐν δὲ τοῖς συνεχέσιν οἱ μὲν καυσώδεις ὀξεῖς, οἱ δὲ τυφώδεις χρονιώτεροι, μέσοι δ' ἀμφοῖν οἱ ἡμιτριταῖοι. ὡς δ' ἄν τις καὶ τούτους ἅπαντας τοὺς πυρετοὺς εὐθὺς εἰσβάλλοντας γνωρίζοι, διὰ τοῦ δευτέρου τῶν περὶ κρίσεων ἐπὶ πλεῖστον
17b.384 εἴρηται. οὐκοῦν χρὴ μεταφέρειν εἰς τόνδε τὸν λόγον, ὅσα καλῶς ἐν ἄλλοις φθάνει ἤδη λελέχθαι, οὐδὲ πολλάκις ἐν πολλαῖς περὶ τῶν αὐτῶν πειρᾶσθαι λέγειν, ἀλλ' ἀναμνῆσαι χρὴ μόνον, ὡς εἴπερ οἷόν τ' ἐστὶν ἐν ἀρχῇ γνωρίσαι τριταῖον εἰσβάλλοντα εὐθὺς πυρετὸν, ἔστι λαβεῖν ἀπ' αὐτοῦ ὅτι τε ταχυκρίσιμος ὅτι τε διὰ τρίτης οἱ παροξυσμοὶ, καὶ τοῦτ' ἔστι τὸ λεγόμενον ὑφ' Ἱπποκράτους· τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι. τεταρταίων γοῦν πυρετῶν ἀρχὰς εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἡμεῖς γνωρίσαντες πολλάκις οὐδὲν ἔτι τῆς ἀνταποδόσεως δεηθέντες ἐξ ἀρχῆς κατεστησάμεθα τὸ τῆς διαίτης εἶδος, ὡς πρὸς νόσημα μετὰ πάμπολυν χρόνον ἥρχετο μέλλον λαβεῖν τὴν ἀκμήν. οὕτω δὲ καὶ ἀμφημερινῶν καὶ τριταίων ἑκατέρων κατὰ τὴν οἰκείαν προθεσμίαν τῆς ἐσομένης ἀκμῆς. ὥσπερ δὲ ἐπὶ τῶν πυρετῶν, οὕτω καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων. πλευρῖτις μὲν γὰρ καὶ περιπνευμονία καὶ φρενῖτις ὀξέα νοσήματα. συνάγχη δὲ καὶ κυνάγχη καὶ
17b.385 χολέρα καὶ τέτανος κατόξεα. ὕδερος δὲ καὶ μελαγχολία καὶ ἐμπύημα καὶ φθόη χρόνια. καὶ οἱ παροξυσμοὶ δὲ πλευρίτιδι μὲν καὶ φρενίτιδι διὰ τρίτης ὡς τὰ πολλὰ, τοῖς δὲ κατὰ γαστέρα καὶ καθ' ἧπαρ ἐμπυήμασί τε καὶ φθίσεσι καθ' ἑκάστην ἡμέραν καὶ μᾶλλον εἰς νύκτα. τοῖς δ' ἀπὸ σπληνὸς καὶ ὅλως μελαγχολικοῖς διὰ τετάρτης. τὸ δὲ καὶ ὧραι τοῦ ἔτεος ἐφεξῆς εἰρημένων αὐτῷ πρὸς τὰ εἰρημένα τὴν ἀναφορὰν ἔχει. καὶ γὰρ τὴν κατάστασιν τοῦ νοσήματος καὶ τοὺς παροξυσμοὺς αἱ ὧραι τοῦ ἔτεος ἅμα τῷ νοσήματι δύνανται δηλοῦν. οὐ γὰρ ἱκανὸν ὅτι τεταρταῖος

εἰσέβαλλε κατὰ τήνδε τὴν ἡμέραν ἐπίστασθαι μόνον, ὡς ἐξ ἀρχῆς προγνῶναι τὸ σχῆμα τῆς διαίτης, ὡς πρὸς χρόνιον νόσημα καταστήσασθαι, ἀλλὰ καὶ εἴτε χειμῶνος, εἴτε ἔαρος, εἴτε θέρους, εἴτε φθινοπώρου συνέβη τὴν ἀρχὴν ταύτην γενέσθαι, προσεπισκοπεῖσθαι χρὴ γινώσκοντας ὅτι οἱ μὲν θερινοὶ τεταρταῖοι, ὡς τὰ πολλὰ γίνονται βραχέες, οἱ δὲ φθινοπωρινοὶ μακροὶ καὶ μᾶλλον οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. ταῦτα γὰρ ἐν τοῖς ἑξῆς αὐτὸς ἡμᾶς διδάξει, καὶ μὲν δὴ καὶ ὁ
17b.386 τριταῖος πυρετὸς, ἔστι μὲν καὶ ἄλλως ταχυκρίσιμος, ἀλλ᾽ ἐν θέρει πολὺ μᾶλλον ἤπερ ἐν τῷ χειμῶνι. καὶ τῶν ἄλλων δὴ ἑκάστων νοσημάτων τάχος μὲν τὸ θέρος, βραδυτῆτα δὲ ὁ χειμὼν προστίθησιν. ἀλλὰ καὶ οἱ παροξυσμοὶ διὰ τρίτης μὲν τοὐπίπαν ἐν θέρει, διὰ τετάρτης δ᾽ ἐν φθινοπώρῳ, καθ᾽ ἑκάστην δ᾽ ἡμέραν ἢ νύκτα χειμῶνος. ὡς δ᾽ ἐπὶ τῶν ὡρῶν, οὕτω καὶ ἐπὶ τῶν κράσεων ἀνάλογον ἔχει, περὶ ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης διεξῆλθε πολλάκις, οὐ μὴν ἐνταῦθά γε εἶπεν ἐπιτρέψας ἡμῖν, ἐξ ἑνὸς ἀναμνησθῆναι περὶ τῶν ἄλλων. ἃ γὰρ ἡ θερινὴ ὥρα, ταῦτα καὶ ἡ κρᾶσις τοῦ νοσοῦντος, εἰ φύσει θερμοτέρα καὶ ξηροτέρα ᾖ καὶ ἡλικία εἰ ἀκμάζουσα καὶ τὸ χωρίον, εἰ θερμὸν καὶ ξηρὸν συνενδείξεται καὶ τὰ ἐπιτηδεύματα δηλονότι καὶ τὰ ἔθη τὰ ὁμοίων ἔχοντα καὶ ἡ παροῦσα κατάστασις τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ὑπὲρ ὧν ἑξῆς διδάξει. οὕτως δὲ καὶ ὅσα περὶ φθινοπωρινῆς ὥρας εἴς τε κατάστασιν νοσήματος καὶ εἰς ἀνταπόδοσιν παροξυσμῶν ἐλαμβάνετο, ταῦτα καὶ περὶ τῆς τοῦ
17b.387 κάμνοντος ἡλικίας καὶ φύσεως ἐπιτηδευμάτων τε καὶ ἐθῶν καὶ τῆς χώρας, ἐν ᾗ νοσεῖ, καὶ τῆς τοῦ περιέχοντος ἐπιδημούσης κράσεως οἷόν τέ ἐστι λαβεῖν. ἐκ μὲν δὴ τούτων εὔδηλον ὅτι τήν τε κατάστασιν τοῦ νοσήματος καὶ τοὺς παροξυσμοὺς γνωσόμεθα, τὴν μὲν κατάστασιν, εἰ κάτοξυ εἴη τὸ νόσημα ἢ χρόνιον, ὅπερ καὶ εἰς τὴν τῆς ἀκμῆς πρόγνωσιν ἀναγκαῖόν ἐστι, τοὺς δὲ παροξυσμοὺς, εἰ διὰ τρίτης ἢ διὰ τετάρτης ἢ καθ᾽ ἑκάστην ἡμέραν ἤ τινι τῆς ἡμέρας ἢ τῆς νυκτὸς εἰσβάλλουσιν ὥρᾳ. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον ἐφεξῆς ἴδωμεν, εἰ τῶν αὐτῶν τούτων ὧν εἰρήκαμεν ἐπίδειξιν ποιεῖται. λέγει μὲν γὰρ ὁ Ἱπποκράτης οὕτω. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ᾽ ἡμέρην ἤν τε παρ᾽ ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται. εὔδηλον δ᾽ ὅτι ἐπιδόσεις τῶν περιόδων τὰς αὐξήσεις λέγει

τῶν κατ᾽ αὐτὰς παροξυσμῶν, αἵτινες ὅτι τόν τε χρόνον τῆς αὐξήσεως τοῦ νοσήματος ἐπιδείκνυνται καὶ τὴν προθεσμίαν τῆς μελλούσης ἀκμῆς.

17b.388 ἐνθάδε ἂν μάλιστα μάθοις, ἐπίδοσις δευτέρου παροξυσμοῦ πρὸς τὸν πρότερον ἐν τρισὶ τούτοις ὁρᾶται, τῇ ὥρᾳ τῇ παροξυντικῇ, τῷ μήκει τοῦ παροξυσμοῦ καὶ τῷ μεγέθει. διοίσει δ᾽ οὐδὲν, οὐδ᾽ εἰ σφοδρότητα λέγοις. ἄμφω γὰρ συνήθη τοῖς ἰατροῖς ἐστι τὰ ὀνόματα καὶ κατὰ τοῦ αὐτοῦ πράγματος ἐπιφέρουσιν αὐτὰ πολλάκις, ἐνίοτε μὲν μείζονα φάσκοντες τὸν πυρετὸν γεγονέναι τοῦ πρόσθεν, ἐνίοτε δὲ σφοδρότερον. ἐνδέχεται δὲ τὸν σφοδρότερον τοῦτον πυρετὸν ἤτοι τὰς ἴσας τῷ πρόσθεν ὥρας κατασχεῖν ἢ ἐλάσσους ἢ πλείους, ὅπερ οὐ μέγεθος ἢ σφοδρότης, ἀλλὰ μῆκος ἔσται παροξυσμοῦ. παροξυσμὸν δὲ ἀκούειν σε χρὴ νῦν τὸ χεῖρον μόριον τῆς ὅλης περιόδου τὸ ἀπὸ τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἀκμῆς, ὥσπερ γε τὸ ὑπόλοιπον τὸ τῆς παρακμῆς ἄμεινον. ἐπειδὰν οὖν ὁ παροξυσμὸς εἴτε διὰ τρίτης ἢ διὰ τετάρτης, εἴτε καθ᾽ ἑκάστην ἡμέραν γινόμενος προλαμβάνῃ τὴν ἀναλογίαν καὶ προλαβὼν ἐπὶ πλείονα χρόνον ἐκταθῇ, μετὰ τοῦ καὶ σφοδρότερον γενέσθαι, σαφὴς μὲν ἡ

17b.389 αὔξησις τοῦ νοσήματος, εἰς ὁπόσον δὲ αὔξεται τὸ καθ᾽ ἕκαστον τῶν εἰρημένων ἐνδείξεται. ὁ μὲν γὰρ πλείονά τε χρόνον προλαμβάνων καὶ πλείονα παροξύνων καὶ πολλῷ σφοδρότερον ἀξιόλογον μὲν ἐνδείξεται τὴν αὔξησιν, ταχεῖάν τε τοῦ νοσήματος τὴν κίνησιν, ἐγγὺς δὲ τὴν ἀκμήν. οὐ γὰρ ἐνδέχεται μεγάλας προσθήκας λαμβανόντων τῶν παροξυσμῶν μὴ οὐχ ὑπόγυον ἔσεσθαι τὴν ἀκμὴν, ὁ δ᾽ ἐναντίος παροξυσμὸς ὁ μικρὰς δηλονότι τὰς προσθήκας ποιούμενος ἑκάστου τῶν εἰρημένων, ὅσον ἐπὶ τούτῳ τὴν ἀκμὴν ἐπιδείξεται πορρωτέραν γενήσεσθαι. τοῦτο οὖν αὐτὸ διὰ τῆς τῶν περιόδων ἐπιδόσεως μαθησόμεθα τοῦ στοχάσασθαι μετὰ πόσον ἔσται χρόνον ἡ ἀκμὴ τοῦ νοσήματος, ἔτι τε τὴν ἀκριβῆ προθεσμίαν τῆς εἰσβολῆς τοῦ παροξυσμοῦ. χρήσιμον δὲ τὸ μὲν πρότερον εἰς τὸ καταστήσασθαι τὴν ἰδέαν τῆς καθόλου διαίτης, τὸ δὲ δεύτερον εἰς τοὺς κατὰ μέρος καιροὺς τῶν τροφῶν, ὧν ἐξ ἀρχῆς αὐτῷ προὔκειτο διδάξαι τοὺς σκοπούς. ὅτι δὲ περίοδον καλεῖ τὴν ἐπὶ τὸ αὐτὸ ὁμοίαν ἐπάνοδον

17b.390 εὔδηλον δή που παντί. ἀλλὰ καὶ τοῖσιν ἐπιφαινομένοισίν φησι τεκμαίρεσθαι χρῆναι, περί τε τοῦ παροξυσμοῦ καὶ τῆς καταστάσεως ὅλου τοῦ νοσήματος. εἴτε δὲ συμπτώματα καλεῖν εἴτε σημεῖα βούλοιτο ταῦτα

τὰ ἐπιφαινόμενα διήνεγκεν οὐδέν. ἀλλ᾽ ἐκεῖνο γινώσκειν ὑπὲρ ἁπάντων τῶν συμπτωμάτων τε καὶ σημείων ἄμεινον ὡς τὰ μὲν αὐτῶν ἐστι παθογνωμονικὰ, τὰ δὲ συνεδρεύοντα, τὰ δὲ κρίσιμα, τὰ δὲ πέψεως, ἔνια δὲ ἀπεψίας, καὶ τὰ μὲν σωτηρίας, ἄλλα δὲ ὀλέθρου δηλωτικά. τὰ μὲν οὖν παθογνωμονικὰ συνεισβάλλει τῷ νοσήματι, τὰ δὲ συνεδρεύοντα ποτὲ μὲν συνεισβάλλει, ποτὲ δ᾽ ἐπιγίνεται, ποτὲ οὐδ᾽ ὅλως γίνεται· οὐ γὰρ ἀχώριστά ἐστι τοῦ νοσήματος, οὐδὲ τὴν οὐσίαν αὐτοῦ συνίστησιν, ἀλλὰ τὰς οἰκείας ἐργάζεται διαφοράς. τὰ δὲ ὑφ᾽ Ἱπποκράτους ὀνομαζόμενα κρίσιμα συμπτώματα τῇ μὲν ἀκριβῶς πρώτῃ τῶν νοσημάτων ἀρχῇ συνεισβάλλειν οὐ πέφυκε, ταῖς δ᾽ ἄλλαις δύο πέφυκε, περὶ ὧν ὀλίγον ὕστερον ἐρῶ. πολλάκις δὲ οὐδ᾽ ἐν ταύταις, ἀλλ᾽ ἐν ταῖς ἀναβάσεσιν ἢ
17b.391 ἀκμαῖς τῶν νοσημάτων ἐπιφαίνεται. τὰ δὲ τῆς πέψεως σημεῖα συνεισβάλλει μὲν οὐδὲ ταῦτα οὐδέποτε τῇ πρώτῃ τοῦ νοσήματος ἀρχῇ, περιορίζει δὲ τὴν ὡς μέρος ἀρχὴν ὅλης τῆς νόσου. τὰ δὲ τῆς ἀπεψίας συνεισβάλλει μὲν τῇ πρώτῃ τοῦ νοσήματος ἀρχῇ καὶ μετὰ ταῦθ᾽ ὕστερόν ἐστιν ὅτε γίνεται, καθάπερ γε καὶ τὰ τοῦ θανάτου. καὶ γὰρ καὶ τούτων ἡ γένεσις ἐξ ὑστέρου τῆς τοῦ νοσήματος ἀρχῆς. νοσήματος δὲ ἀρχὴν, ὡς ἐδιδάξαμεν ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι, τήν τε πρώτην εἰσβολὴν ἁπλάτη προσαγορεύομεν καὶ τὴν ὡς μέρος ὅλου τοῦ νοσήματος ὅταν εἰς ἀρχὴν, ἀνάβασίν τε καὶ ἀκμὴν καὶ παρακμὴν τέμνηται καὶ τὴν ἄχρι τῆς τρίτης ἡμέρας ἐκτεινομένην. ἐδιδάξαμεν δὲ καὶ τὰς τῶν εἰρημένων ἁπάντων συμπτωμάτων δυνάμεις ἐν ἐκείνῃ τῇ πραγματείᾳ, μετὰ τοῦ καὶ τὰς ἀναγκαίας εἰς τοῦτο τῶν Ἱπποκράτους ἐξηγήσασθαι ῥήσεων, ἀλλὰ καὶ νῦν ὡς ἐν ἐπιτομῇ λεχθήσεται καὶ περὶ αὐτῶν. ὅστις δ᾽ ἂν ἐθέλῃ περὶ ταῦτα τὴν ὅλην τέχνην Ἱπποκράτους ἐκμαθεῖν, ἐπ᾽ ἐκείνην ἀφικνείσθω τὴν πραγματείαν. τοῖς οὖν ἐπιφαινομένοις τεκμαίρεσθαι συμβουλεύει
17b.392 περὶ τῆς ὅλης καταστάσεως τοῦ νοσήματος, εἴτ᾽ ἐξ αὐτῶν ἓν νόσημά τι προχειρισάμενος, φησὶν, οἷον ἐν πλευριτικοῖσιν πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δ᾽ ὕστερον ἐπιφαίνηται, μηκύνει. μάθοις δ᾽ ἂν ὃ διδάσκει σαφῶς, εἴ σοι παραγράψαιμι τὰ ἐκ τοῦ τρίτου τῶν ἐπιδημίων ἐπὶ Ἀναξίωνος εἰρημένα τοῦ πλευριτικοῦ, καὶ τοῦτον δὲ αὐτὸν ἐξηγησάμην τὸν ἄρρωστον ἐν τῷ πρώτῳ περὶ κρίσεων. ἔχει δὲ Ἱπποκράτους ἡ ῥῆσις ὧδε· ἐν Ἀβδήροισιν Ἀναξίωνα ὃς κατέκειτο

περὶ τὰς θρηικίας πύλας, πυρετὸς ὀξὺς ἔλαβε, πλευροῦ δεξιοῦ ὀδύνη συνεχὴς, βὴξ ξηρὰ οὐδ᾽ ἔπτυε τὰς πρώτας ἡμέρας, διψώδης, ἄγρυπνος, οὖρα δὲ εὔχροα πολλὰ λεπτά. ἕκτῃ παράληρος· εἰς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. ἑβδόμῃ ἐπιπόνως, ὅ τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔταμον, ἔρρυε πολὺ οἷον ἔδει, ξυνέδωκαν οἱ πόνοι, αἱ μέντοι
17b.393 βῆχες ξηραὶ παρείποντο. ἐνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοὶ, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν. αἱ βῆχες καὶ τὰ ἀπὸ πνεύμονος ὑγρά. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν. εἰκοστῇ ἵδρωσεν, ἀπύρετος ἐγένετο. μετὰ δὲ κρίσιν ἐκουφίσθη. διψώδης τε ἦν καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρηστὰ αἱ καθάρσιες. εἰκοστῇ καὶ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεψεν, ἔβησσεν, ἀνῆγε πέπονα πολλά. οὔροις δ᾽ ὑπόστασις πολλὴ λευκὴ, ἄδιψος ἐγένετο, εὔπνους ὑπνοῖ. τριακοστῇ τε τετάρτῃ ἵδρωσε δι᾽ ὅλου, ἀπύρετος ἐκρίθη πάντῃ. οὗτος οὖν ὁ Ἀναξίων ἐξ ἀρχῆς μὲν ἦν πλευριτικὸς, οὐ μὴν ἐξ ἀρχῆς ἀπέπτυεν, ἀλλὰ καὶ κατὰ τὴν ὀγδόην ἡμέραν ἔτι αἱ βῆχες αὐτῷ ξηραὶ παρείποντο, ὥς φησιν Ἱπποκράτης. ὅθεν εἰκότως καὶ ἡ τοῦ νοσήματος ὅλου λύσις εἰς τὴν λδ′ ἐξετάθη, καίτοι τῶν γε πλευριτικῶν ὡς τὰ πολλὰ τὴν ιδ′ ὅρον ἐχόντων τῆς κρίσεως, εἰ δὲ καὶ μὴ ταύτην, ἀλλὰ πάντως γε τὴν εἰκοστήν. εἰ δὲ πρὸ τῆς γ′ ἡμέρας ἔπτυσεν, ἤτοι περὶ τὴν ζ′ ἢ τὸν θ′ ἢ πάντως γε τὴν ια′ ἐκρίθη, κἂν εἰ κατ᾽ αὐτήν γε τὴν τρίτην
17b.394 ἤρξατο πτύειν, οὐκ ἂν ἐξωτέρω τῆς ιδ′ προὔβη. συμβαίνει γὰρ ἐπὶ τῶν φλεγμονῶν ἁπασῶν, ὅσαι μὴ καλύπτονται σκεπάσματι πυκνῷ, καθάπερ αἱ κατὰ τὸ ἐκτὸς δέρμα, διιδροῦσθαί τινας ἰχῶρας, ἐν ἀρχῇ μὲν λεπτοὺς, ἐς ὕστερον δὲ, εἰ πέττοιντο καὶ πρὸς τὸ βέλτιον ἔρχοιντο, παχυτέρους καὶ τούτων αὐτῶν τῶν παχυτέρων τοὺς μὲν ἧττον, τοὺς δὲ μᾶλλον πεπέφθαι. ταῦτα κἀπὶ τῶν κατὰ τὸ στόμα φλεγμονῶν ἁπασῶν ἔστι θεάσασθαι κἀπὶ τῶν ὀφθαλμῶν. οὐχ ἥκιστα δὲ καὶ καθ᾽ ἓν ὁτιοῦν ἄλλο μόριον, ὅταν ἅμα τοῦ δέρματος ὅλου διαιρέσει, φλεγμαίνει τι τῶν ἔνδον. καὶ γὰρ ἐκ τῶν τοιούτων ἑλκῶν ἰχῶρες ἀπορρέουσιν οἵους εἶπον. ὅταν οὖν ποτε φλεγμονή τις ᾖ μετὰ τοσαύτης στεγνώσεως, ὡς μηδὲν ἔξω ἀποχεῖν, ἀνάγκη δύσπεπτόν τε καὶ χρονίαν γενέσθαι ἐκείνην. κατὰ τοῦτον οὖν τὸν λόγον κἀν ταῖς πλευρίτισιν, ἐπειδὴ καὶ τοῦτο τὸ νόσημα φλεγμονή τις ὑπάρχει τῷ γένει, προσέχειν δεῖ τοῖς τῆς πέψεως σημείοις.

ἀπεπτοτάτη μὲν γὰρ ἐφ᾽ ἧς ὅλως οὐδὲν πτύεται· δευτέραν δ᾽ ἔχει τάξιν
17b.395 ἐφ᾽ ἧς ἰχῶρες λεπτοὶ, τρίτην δ᾽ ἐφ᾽ ἧς παχύτεροι καὶ τετάρτην ἐφ᾽ ἧς εἰς τέλος ἐπέφθησαν. ἀλλ᾽ οὗτοι μὲν εἰ περὶ τρίτην ἢ δ′ ἡμέραν ἐπιφανεῖεν, οὐκ ἐγχωρεῖ τῆς ἑβδόμης ἐξωτέρω προβῆναι τὸ νόσημα. τῶν δ᾽ ἄλλων ἕκαστον κατὰ τὸ τῆς πέψεως μέτρον ἀναγκαῖον ἀκολουθῆσαι τὸν χρόνον. ὥσπερ οὖν τελείας ἐστὶ γνώρισμα τὸ πτύελον πέψεως, ὅταν ᾖ λευκόν τε καὶ λεῖον καὶ ὁμαλὸν, τῇ τε συστάσει μήθ᾽ ὑπέρυγρον μήθ᾽ ὑπέρπαχυ, κατὰ τὸν αὐτὸν τρόπον ἀπεψίαν ἐνδείκνυται παντελῆ τὸ μηδ᾽ ὅλως πτυόμενον. εἰ δὲ πτύοιτο μέν, ἀλλὰ καὶ λεπτὸν εἴη ἔτι, πέψεως ἀμυδρᾶς ἐστι σημεῖον. εἰ δὲ ἄκρατον εἴη ἢ ξανθὸν ἢ πυρρὸν, οὐκ ἀγαθόν. εἰ δὲ καὶ πελιδνὸν ἢ ἰῶδες ἢ μέλαν, ὀλεθριώτατον. διῃρημένων οὖν ἡμῖν τῶν τε τῆς πέψεως καὶ τῆς ἀπεψίας σημείων, ἔτι τε τρίτον ἐπ᾽ αὐτοῖς τῶν ὀλεθρίων, ἰστέον ὅτι τὰ μὲν τῆς πέψεως σημεῖα διὰ παντός ἐστιν ἀγαθὰ, λύσιν τοῦ νοσήματος ἐνδεικνύμενα ταχεῖαν, ὥσπερ γε καὶ τὸ τῶν ὀλεθρίων σημείων γένος, ὡς ἐν τάχει τὴν ἀπώλειαν ἔσεσθαι τοῦ
17b.396 κάμνοντος προδηλοῖ. τὰ δὲ τῆς ἀπεψίας σημεῖα χρόνιον μὲν ἐξ ἀνάγκης προσημαίνει τὸ νόσημα, τεθνήξεσθαι δὲ ἢ σωθήσεσθαι τὸν ἄνθρωπον, ὅσον μὲν ἐφ᾽ ἑαυτοῖς, οὐ δηλοῖ. προλογιζομένῳ δέ σοι τὴν ῥώμην τῆς δυνάμεως καὶ ταῦθ᾽ ὑπάρχει προγινώσκειν. ἄλλο δὲ γένος ἔστι σημείων, τῶν κρισίμων ὑπ᾽ αὐτοῦ προσαγορευομένων. ἱδρῶτες δ᾽ ἐστὶ ταῦτα, αἱμορραγίαι τε καὶ ῥῖγος καὶ γαστὴρ καταρρήξασα πολλὰ καί τις ἔμετος τοιοῦτος καὶ ἄλγημα κεφαλῆς ἐξαιφνίδιον ἢ δύσπνοια παράλογός τε καὶ σφοδρὰ ἢ καρδιωγμὸς ἤ τις ὑποχονδρίου σύντασις ἀνώδυνος, ἀγρυπνία τε σφοδρὰ καὶ παραφροσύνη καὶ νὺξ ἀλόγως δύσφορος καὶ παροξυσμὸς προληπτικὸς, ἀλλὰ καὶ δάκρυον ἀκούσιον ἐν ἀπαθέσιν ὀφθαλμοῖς ἄνευ λύπης, ἔρευθός τε καὶ τὸ κάτω χεῖλος σειόμενον, ἐνηλιωμένα καὶ σκοτεινὰ, ὀρφνώδη τε προφαινόμενα τῶν ὀφθαλμῶν ἢ μαρμαρυγαί τινες ἢ μῆλον ἢ ῥὶς ἐξαίφνης ἐρυθρὰ γενόμενα καὶ παρωτίδες ἢ ὅλως ἀποστήματος εἰς ἄρθρον τινὸς γένεσις. ταῦτά τε οὖν σύμπαντα καὶ πρὸς
17b.397 τούτοις ἄλλα πολλὰ τοιαῦτα, κατὰ μὲν τὴν αὐτῶν ἰδίαν οὐσίαν ὀνομαζόμενα συμπτώματα, καθότι δὲ μεταβολὴν ὀξύρροπον δηλοῖ, κρίσιμα σημεῖα προσαγορευόμενα, διττὴν παρέξει σοι τὴν πρόγνωσιν. εἰ μὲν ἐπὶ πεπεμμένῳ τῷ νοσήματι γίγνοιτο, σωτηρίαν ὑπόγυον, εἰ δὲ ἐπὶ

ἀπέπτῳ, κρίσιν οὐκ ἀγαθὴν, ἤτοι γε εἰς ὄλεθρον ἄξουσαν ἢ εἰς χρόνου μῆκος. ὅτι δὲ ἄλλη μέν ἐστιν ἡ φύσις ἡ τῶν κρισίμων τούτων σημείων, ἄλλη δὲ ἡ τῶν τῆς πέψεως, ἐνθένδε μάλιστα μάθοις, ὡς ἐν τῷ πρώτῳ τῶν ἐπιδημίων φησὶν Ἱπποκράτης· πεπασμοὶ ταχύτητα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα καὶ εἰς κακὰς ἀποστάσεις τρεπόμενα, ἀκρισίας ἢ πόνους ἢ χρόνους ἢ θανάτους ἢ τῶν αὐτῶν ὑποστροφάς. οὕτω μὲν ἐπῄνεσε καθόλου τὴν τοῦ νοσήματος πέψιν. ἐν δὲ τῷ προγνωστικῷ κατὰ μέρος ὧδέ πως ἅμα τῷ διδάσκειν αὐτῆς τὰ γνωρίσματα. οὖρον δὲ ἄριστον, ὅταν ᾖ λευκὴ ἡ ὑπόστασις καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔς τ᾽ ἂν κριθῇ ἡ νοῦσος,
17b.398 σημαίνει τε γὰρ ἀσφάλειαν ὑγιεινὴν καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. οὕτως πάλιν ἐπῄνεσεν οὖρον ἐνδεικνύμενον πέψιν ἐν τῷ φλεβώδει γένει. αὖθις δ᾽ ἐν τῷ λέγειν· διαχώρημα δὲ ἄριστόν ἐστι τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς καὶ κατὰ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει, τὰ γνωρίσματα τῶν κατὰ γαστέρα πέψεων ἐπαινεῖ τε ἅμα καὶ διδάσκει. οὕτω δὲ καὶ τὴν ἐν τοῖς ἀναπνευστικοῖς πέψιν ἐπαινῶν τε ἅμα καὶ διδάσκων εἶπε. πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖς περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευράς, ταχέως τε ἀποπτύεσθαι καὶ εὐπετῶς, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς, τῷ πτυέλῳ. τὰ μὲν τῆς πέψεως σημεῖα διὰ παντὸς ἀγαθὰ, τὰ δὲ τῆς κρίσεως οὐκ ἔτι. φησὶν οὖν οὕτως τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. καὶ μέντοι κἀν τῷ λέγειν τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον μὴ αὐτίκα ἐπιφαίνεσθαι, τὴν αὐτὴν ἐνδείκνυται γνώμην. τὰ γὰρ τῆς πέψεως σημεῖα, καθ᾽ ὃν ἂν ἐπιφαίνεσθαι χρόνον ἀγαθά. διὰ παντὸς γάρ ἐστι τὸ γένος αὐτῶν ὅλον
17b.399 χρηστόν. οὔκουν μάχεται τῷ νῦν εἰρημένῳ τῷ ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνηται. τὰ μὲν γὰρ κρίσιμά ποτε γίνεται κακὰ, πέψεως δὲ σημεῖον οὐδὲν οὐδέποτε μοχθηρὸν, ἀλλ᾽ ἀεὶ πάντα χρηστὰ καὶ τοσούτῳ θᾶττον ὑγιασθήσεσθαι δηλοῖ τὸν ἄνθρωπον, ὅσῳπερ ἂν ἐπιφαίνηται θᾶττον. ἀρκεῖ τοσαῦτα πρός γε παρὸν, ὡς ἐν ἐπιτομῇ λελέχθαι. τὴν δ᾽ ὅλην ὑπὲρ αὐτῶν γνώμην τοῦ παλαιοῦ διὰ τῆς περὶ κρίσεων ἐδήλωσα πραγματείας. ἵνα δέ μοι τέλειος ὁ κατὰ τὴν διαίρεσιν, ὃν ἀρτίως εἶπον, ὑπάρχῃ λόγος ὅπως τῶν εἰρημένων διαφέρει τά τε παθογνωμονικὰ καὶ τὰ συνεδρεύοντα καλούμενα δίειμι, προχειρισάμενος ὡς ἐν παραδείγματι,

πάθος ἓν αὐτὸ δὴ τοῦτο πρὸς Ἱπποκράτους ὠνομασμένον. ἐπὶ τοίνυν τῆς πλευρίτιδος ὁ μὲν ὀξὺς πυρετὸς ἅμα τῇ δυσπνοίᾳ καὶ τῇ βηχὶ καὶ τῷ κατὰ τὴν πλευρὰν ἀλγήματι νυγματώδει, παθογνωμονικὰ σημεῖά εἰσι. τὸ δ' ἤτοι πρὸς ὑποχόνδριον ἢ πρὸς τὴν κλεῖν ἐξήκειν τὴν ὀδύνην,
17b.400 συνεδρεύοντα, καθάπερ γε καὶ τοῦτο ῥᾷον ἐπὶ τοῦ πεπονθότος ἢ θατέρου κατακλίνεσθαι πλευροῦ. γέγραπται δὲ καὶ Πραξαγόρᾳ τῷ Νικάνδρου, δύο μὲν τῶν συνεδρευόντων βιβλία, τῶν δ' ἐπιγενομένων ἓν ἕτερον, ὡς εἰ καὶ ἐπιφαινομένων ἐπεγέγραπτο. ταῦτα οὖν τὰ ἐπιφαινόμενα, φησὶν ὁ Ἱπποκράτης, εὔκριτά τε καὶ δύσκριτα καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῦν. ἐμνημόνευσε δὲ οὐ μόνον πτυέλων, ἀλλὰ καὶ οὔρων καὶ διαχωρημάτων καὶ ἱδρώτων, ἐν παραδείγματι δηλονότι τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων ἀναμιμνήσκων ἡμᾶς, ἃ νῦν ἐνταῦθα μεταφέρειν περιττόν. ἔν τε γὰρ τοῖς περὶ κρίσεων εἴρηται κἀν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν, ἐν οἷς ἔτι καὶ μᾶλλον ὑπὲρ αὐτῶν ἐξηγησάμεθα τὴν γνώμην τοῦ παλαιοῦ. — — —

ιγ′. Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια πάντων δὲ μάλιστα παιδία. τούτων δὲ αὐτέων, ἅπερ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.— — —

17b.401 Καὶ ἡ τῶν ἡλικιῶν διαφορὰ συμβάλλεταί τι πρὸς τὰ διαιτήματα. γέροντες μὲν γὰρ εὐφόρως ἀσιτοῦσι, παῖδες δὲ δυσφόρως. ἔστι δὲ τὸ μὲν εὐφόρως κατά τε τὸ μὴ ὀρέγεσθαι καὶ μὴ βλάπτεσθαι, τὸ δὲ δυσφόρως κατὰ τὰ ἐναντία. καὶ γὰρ ὀρέγονται καὶ βλάπτονται μᾶλλον οἱ παῖδες ἐν ταῖς μακραῖς ἀσιτίαις. αἱ δὲ μεταξὺ ἡλικίαι τῆς τε τῶν παίδων καὶ τῆς τῶν γερόντων ἐφ' ὅσον ἂν ἐγγυτέρω τῆς ἑτέρας αὐτῶν ἥκωσιν, ἐπὶ τοσοῦτον ἢ μᾶλλον ἢ ἧττον ἀνιῶνται καὶ βλάπτονται κατὰ τὰς μακρὰς ἀσιτίας. τούτου δὲ τοῦ ἀφορισμοῦ τὴν αἰτίαν αὐτὸς ἐν τῷ ἐφεξῆς διδάσκει, οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα σώματα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, ὥστε κἂν εἰ συνάπτειν τις αὐτὸν βούλοιτο καὶ μετὰ τοῦ γὰρ ἐκφέρειν συνδέσμου, γένοιτ' ἂν ὁ λόγος εἷς τε ἅμα καὶ σαφὴς, οὕτως ἔχων, γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια καὶ μάλιστα πάντων παιδία. τὰ γὰρ αὐξανόμενα
17b.402 πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. καθεστηκότας δὲ λέγει δηλονότι τοὺς

τὴν μέσην ἔχοντας ἡλικίαν, ἀκμῆς τε καὶ γήρως, ὡς παύεσθαι μὲν ἤδη τὰ τῆς ἀκμῆς, μηδέπω δὲ μηδεμίαν αἴσθησιν σαφῆ γήρως ἔχειν. οὕτω δὲ καὶ Θουκυδίδης εἶπε τοὺς ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ. μεταξὺ δὲ ταύτης τε καὶ τῆς τῶν μειρακίων ἡλικίας ἑτέρα τίς ἐστιν ὥσπερ καὶ τῇ τάξει μέση τούτων, οὕτω καὶ κατὰ τὴν εὐφορίαν τε καὶ δυσφορίαν, ὡς μήτ' εὐφόρως ἡμᾶς δύνασθαι φέρειν τὴν ἀσιτίαν, καθάπερ οἱ καθεστηκότες καὶ γέροντες, μήτε δυσφόρως, ὡς τὰ μειράκιά τε καὶ οἱ παῖδες. ἀλλ' οὐκ ἐμνημόνευσεν αὐτῆς ὁ Ἱπποκράτης, ὡς νοεῖσθαι δυναμένης ἐξ ὧν εἶπεν. ἐν γὰρ τῷ φάναι, τούτων δὲ αὐτέων ἃ ἂν τύχῃ, αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα, τὰς φυσικὰς ἐνεφάνισε διαφοράς. ὅσα γὰρ τῶν παιδίων τὸ θερμὸν τὸ ἔμφυτον ἔχει πολὺ, ταῦτα καὶ προθυμότερα τῶν ἄλλων ἐστὶ περὶ τὰς τῶν σιτίων προσφορὰς καὶ κρατεῖν μᾶλλον αὐτῶν δύνανται καὶ μὴ λαμβάνοντα μᾶλλον βλάπτεται. τοιοῦτος μὲν ὁ Ἱπποκράτους λόγος· δεῖται μέντοι καὶ βραχείας τινὸς ἔτι προσθήκης εἰς τὸ τέλειον. ἐπὶ μὲν γὰρ τῶν ἐν ἀρχῇ τῆς γεροντικῆς ἡλικίας ὀρθῶς

17b.403 εἴρηται τὸ γέροντες εὐφορώτατα νηστείην φέρουσιν· ἐπὶ δὲ τῶν ἔσχατον ἡκόντων γῆρας οὐκ ἔτι ὀρθῶς, ὅτι μηδὲ φέρουσιν ἐκεῖνοι τὰς μακρὰς ἀσιτίας. ἢ τοίνυν προσθετέον ἐστὶ τῷ ἀφορισμῷ βραχύ τε καὶ κατὰ τόνδε τὸν τρόπον αὐτὸν λεκτέον, γέροντες εὐφορώτατα νηστείην φέρουσι, πλὴν τῶν ἐσχατογήρων, δεύτερον οἱ καθεστηκότες. ἢ τὴν νηστείην ὄνομα μεταθετέον εἰς ὀλιγοσιτίην, καὶ οὕτως ῥητέον. γέροντες εὐφορώτερον ὀλιγοσιτίην φέρουσιν, δεύτερον οἱ καθεστηκότες. εὑρεθήσονται γὰρ καὶ οἱ ἐν ἐσχάτῳ γήρᾳ, εἰ καὶ μὴ φέροντες τὴν μακρὰν ἀσιτίαν, ὀλιγοσιτίας γοῦν δεόμενοι. παραπλήσιον γάρ τοι πάσχουσι τοῖς ἀποσβεννυμένοις λύχνοις, οἳ καὶ συνεχεστέρας μὲν δέονται χορηγίας, ἀθρόας δὲ ἅμα καὶ πολλῆς οὐ δέονται. καὶ δὴ καὶ προσήκει τοῖς τοιούτοις διδόναι τὸ σύμπαν πλῆθος ὀλίγον, μερίζοντας δὲ καὶ αὐτὸ τοῦτο τὸ ὀλίγον εἰς πλείω μέρη καὶ μὴ μίαν ἀσιτίαν ἐπιφέρειν μακρὰν αὐτοῖς. — — —

17b.404 ιδ′. Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν· πλείστης οὖν δεῖται τροφῆς, εἰ δὲ μή, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται, ὑπὸ πολλῶν γὰρ

ἀποσβέννυνται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσι οὐχ ὁμοίως ὀξέες, ψυχρὸν γὰρ τὸ σῶμα.— — —

Εἴρηται ἡμῖν κἀν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐπὶ πλέον ὅπως οἱ ἀκμάζοντες ἐνίοις μὲν τῶν ἰατρῶν, ἐνίοις δὲ οἱ παῖδες ἔδοξαν εἶναι θερμότεροι. ἔχουσι γὰρ οἱ μὲν δριμύτερον τὸ θερμὸν, οἱ δὲ πλέον. ἀνάγκη δὲ καὶ νῦν εἰπεῖν, ὅσον εἰς τὰ παρόντα χρήσιμον, ἐν ὀλίγοις ὡς οἷόν τε μακροὺς περιλαμβάνοντας λόγους. τὸ τοίνυν ὄνομα τουτὶ τὸ θερμὸν ἐνίοτε μὲν ἐπὶ τὴν ποιότητα φέρομεν, ἧς ἴδιον ὄνομα θερμότης ἐστίν. ἐνίοτε δὲ παρωνύμως ἀπὸ τῆς ποιότητος, ὅλον τὸ σῶμα θερμὸν
17b.405 προσαγορεύομεν καί ἐστιν ἡ χρῆσις ἥδε πολλὴ κατὰ τὸν βίον ἅπαντα καὶ παρὰ τοῖς παλαιοῖς, ὡς καὶ Θεόφραστος ἐδήλωσεν ἐν τῷ περὶ θερμοῦ καὶ ψυχροῦ γράμματι. τῆς γὰρ τῶν σωμάτων οὐσίας δεχομένης ἐν μέρει τὰς ἐναντίας ταύτας ποιότητας, θερμότητά τε καὶ ψυχρότητα καὶ ξηρότητα καὶ ὑγρότητα, κατὰ μὲν τὴν δεδεγμένην οὐσίαν, ὅταν ὀνομάζωμεν θερμὸν, τὸ σῶμα λέγομεν, ὀλίγον τε ἢ πολὺ φαμὲν ὑπάρχειν τὸ θερμὸν, τῷ ποσῷ τῆς οὐσίας προσέχοντες τὸν νοῦν, καὶ τοῦτο ποιοῦμεν διττῶς. ἕνα μὲν γὰρ τρόπον ἐπὶ τῶν ἀμίκτων οὐσιῶν, ἕτερον δ’ ἐπὶ τῶν μεμιγμένων. ἐπὶ μὲν τῶν ἀμίκτων, ὡς ἂν εἰ καὶ δυοῖν ἐχόντοιν ὕδωρ ὁμοίως θερμὸν ἐν δεξαμεναῖς ἀνίσοις περιεχόμενον, τὸν μὲν ἕτερον πλέον ἔχειν λέγομεν τὸ θερμὸν, ᾧ μείζων ἡ δεξαμενὴ, τὸν ἕτερον ἔλαττον. ἐπὶ δὲ τῶν μεμιγμένων ὡς ἂν ἴσων μὲν ἀλλήλαις οὐσῶν, ἀνίσῳ δὲ μέτρῳ κεκραμένων, ἐξ ὕδατός τε καὶ οἴνου τὴν μὲν ἑτέραν αὐτῶν τὸν οἶνον ἔχειν πλείονα, τὴν δ’ ἑτέραν τὸ ὕδωρ φαμέν. ὅσπερ τρόπος ἐστὶ, κἂν ἀνίσους ὑποθώμεθα τὰς δεξαμενὰς εἶναι κατὰ τὴν αὐτὴν ἀναλογίαν
17b.406 κεκραμένας. ἐνίοτε δὲ οὐ πρὸς τὸ πλῆθος ἀναφέροντες τῆς οὐσίας τὸν λόγον, ἀλλὰ πρὸς τὴν ποιότητα μόνην, τῷ μέν τινι πλέον εἶναι φαμὲν, τῷ δ’ ἧττον τὸ θερμὸν, ὡς καὶ δυοῖν δεξαμεναῖν ἴσαιν ἀκριβῶς τὸ μέγεθος, τῆς μὲν θερμοτέρας πλέον εἶναι τὸ θερμὸν λέγομεν, τῆς δὲ ψυχροτέρας ἧττον, οὐκέτι κυρίως ἐνταῦθα τὸ πλέον ἐπιφέροντες. ἄμεινον γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον καὶ σφοδρότερον καὶ ἀμυδρότερον καὶ πάνθ’ ὅσα τοιαῦτα ταῖς ποιότησιν ἀναφέρειν ὀνόματα, τὸ δ’ ὀλίγον καὶ πολὺ κατὰ τοῦ ποσοῦ μόνον τῆς οὐσίας φυλάττειν. ἀλλὰ γὰρ οὐκ ἐνταῦθα μόνον αἱ τοιαῦται καταχρήσεις εἰσὶ τῶν ὀνομάτων, ἀλλὰ καὶ

κατ᾽ ἄλλα πάμπολλα τῶν κατὰ τὸν βίον, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὴν ἰατρικὴν αὐτήν. ἁπάσας γοῦν τὰς νόσους ὀνομάζουσι μεγάλας τε καὶ μικρὰς, καίτοι γε οὐκ οὔσας οὐσίας, πυρετὸν μέγαν, πυρετὸν μικρὸν, ἀποπληξίαν μεγάλην, ἀποπληξίαν μικρὰν, ὡσαύτως δὲ πλευρῖτιν καὶ φρενῖτιν καὶ περιπνευμονίαν, ἁπάσας τε τὰς ἄλλας. προσέχειν οὖν χρὴ
17b.407 ταῖς ὁμωνυμίαις καὶ σκοπεῖσθαι τί ποθ᾽ ἡ σύμπασα λέξις ἑκάστοτε βούλεται τοῦ λέγοντος. εἰ γὰρ ἐκείνου καθ᾽ ἑτέρου σημαινομένου τοὔνομα φέροντος ἡμεῖς καθ᾽ ἕτερόν τι δεξάμενοι τὸν λόγον εὐθύνομεν, οὐ τὸν εἰρηκότα δή που κατά γε τὴν ἀλήθειαν αὐτὴν ἐξελέγξομεν, ἀλλὰ τὴν ἡμετέραν ὑπόληψιν, ὥσπερ ἀμέλει κἀνταῦθα ποιοῦσιν ἔνιοι τῶν πρὸς Ἱπποκράτους σπευδόντων ἀντιλέγειν. ἐπὶ γὰρ τὴν ποιότητα μεταφέροντες τοὔνομα τοῦ θερμοῦ, πειρῶνται δεικνύναι σφοδροτέραν ὑπάρχουσαν αὐτὴν τοῖς ἀκμάζουσιν. ἀλλ᾽ Ἱπποκράτης οὐκ ἐπὶ ταύτην, ἀλλ᾽ ἐπὶ τὴν οὐσίαν ἀναφέρει τοὔνομα κατὰ τὸν ἐνεστῶτα λόγον. ἡ γὰρ οὐσία τοῦ ἐμφύτου θερμοῦ ἀερώδης καὶ ὑδατώδης ὑπάρχει, ὡς ἐκ τοῦ σπέρματος ἔνεστι τεκμήρασθαι, παντάπασι μὲν ὀλίγης γεώδους οὐσίας μετέχοντος, τὸ πλεῖστον δ᾽ ἐν αὐτῷ περιέχοντος ἀέρος θερμοῦ τε καὶ ὑγροῦ, ὡς κἀν τοῖς περὶ σπέρματος ὑπομνήμασι δεδήλωται. καὶ μὴν καὶ ἡ ἑτέρα τῆς γενέσεως ἡμῶν ἀρχὴ, τὸ καταμήνιον, ὑγρὸν δήπου τὴν φύσιν ἐστίν. ὅταν οὖν ἐπὶ τὸ γεωδέστερον μεταβάλλῃ τὸ σῶμα τοῦ ζώου,
17b.408 μεταβάλλει δὲ καθ᾽ ἑκάστην ἡμέραν αὐξανόμενον, τηνικαῦτα κἂν πάνυ σφόδρα θερμὸν ᾖ καὶ πυρῶδες, ἀλλὰ τήν γε οὐσίαν τοῦ ἐμφύτου θερμοῦ ὀλιγίστην ἔχει, ἐπεὶ οὕτως ἂν καὶ τοὺς πυρέττοντας εἴπομεν πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν, οἵτινες οὐχ ὅπως πλέον, ἀλλ᾽ οὐδὲ τῷ πρόσθεν ἴσον ἔχουσιν. εὔκρατος μὲν οὖν ἐστιν ἡ οὐσία τοῦ ἐμφύτου θερμοῦ, πυρώδης δὲ ἡ τοῦ ἐπικτήτου. καὶ δὴ καὶ αἱ δι᾽ ὅλου τοῦ σώματος ἡμῶν ἀπόρροιαι ἔπονται καπνώδεις μὲν καὶ λιγνυώδεις καὶ ξηραὶ καὶ δριμεῖαι τῷ ἐπικτήτῳ θερμῷ, ἀτμώδεις δὲ καὶ ἡδεῖαι καὶ εὔκρατοι τῷ κατὰ φύσιν, καίτοι διὰ τῆς ἀφῆς ἔνεστι διαγινώσκειν ταῦτα. τὸ μὲν γὰρ τῶν ὑγιαινόντων θερμὸν ἀτμῶδές ἐστι καὶ ἡδὺ καὶ οἰκεῖον τῇ ἀφῇ, μηδὲν ἀνιαρὸν, μηδὲ ταχὺ, μηδὲ δακνῶδες ἔχον. τὸ δὲ τῶν πυρεττόντων καὶ μάλιστα τοὺς ἐκτικοὺς πυρετοὺς ἢ τοὺς ἐπὶ σήψει χυμῶν δριμὺ καὶ ἀηδὲς καὶ δάκνον καὶ διαβιβρῶσκον ἡμῶν τὴν ἀφήν. ἀκριβοῦται δὲ ἡ ὑγιεινὴ

ποιότης αὐτοῦ ἐν τοῖς παισὶν, ὡς τῶν γε ἀκμαζόντων τοὺς πλείστους ἔστιν εὑρεῖν δακνῶδες ἤδη τὸ θερμὸν ἔχοντας καὶ οὐκ ἔθ' ὑγρὸν οὐδὲ
17b.409 ἀτμῶδες οὐδὲ ἀερῶδες. καὶ οὐδὲν θαυμαστόν· ὁμοίαν γὰρ εἶναι τὴν ἀπόρροιαν δεῖ τῇ ὑποκειμένῃ οὐσίᾳ· ἡνίκα μὲν ὑγρὰ καὶ ἀερώδης ἐστὶν ἡ οὐσία, καὶ τὸ ἀπορρέον αὐτῆς ἀτμῶδές ἐστι καὶ ἡδύ· ἡνίκα δὲ γεώδης καὶ ξηρὰ, τηνικαῦτα καὶ τὸ ἀπορρέον καπνῶδες γίνεται καὶ λιγνυῶδες καὶ δριμὺ, ὥσπερ γε κἀπὶ τῶν ἐκτὸς αἱ μὲν ἐξ ὕδατος ἀναθυμιάσεις γλυκέος τε καὶ θερμοῦ χρησταὶ καὶ ἀτμώδεις εἰσὶν, αἱ δὲ ἔκ τινος τῶν στερεῶν σωμάτων καιομένου καπνώδεις τε καὶ δριμεῖαι. διττῶν οὖν οὐσιῶν οὐσῶν, καὶ τῆς μὲν ἡδεῖαν ἐχούσης θερμότητα, τῆς δὲ ἀνιαρὰν, τὴν μὲν ἑτέραν πλείστην ἔχει τὰ παιδία, τὴν δ' ἑτέραν οἱ ἀκμάζοντες ὡς πρὸς τὴν ὅλην τοῦ σώματος ἀναλογίαν δηλονότι. ἵνα δὲ καὶ φυσικώτερον ἔτι τὸν λόγον ἀναγαγὼν ἐπὶ τὰ στοιχεῖα τὸ πᾶν διέξειμι, τεττάρων ὄντων στοιχείων ἐξ ὧν τὰ πάντα σώματα κέκραται, τὸ μὲν τῶν παιδίων ἥκιστα μετέχει τοῦ γεώδους, πλεῖστον ἐν ἑαυτῷ κεκτημένον τό τ' ἀερῶδες καὶ ὑδατῶδες. τὸ δὲ τῶν ἀκμαζόντων ἔμπαλιν ὑπὸ ξηρότητος ἐπικρατεῖται
17b.410 γεώδους. ἐνδεῖ δ' ἡ ὑδατώδης αὐτοῦ καὶ ἀερώδης οὐσία, ὥστ' εἰ καὶ τὸ τέταρτον τὸ στοιχεῖον ἴσον πῦρ ἐν ἀμφοῖν θείημεν, ὡς ὁμοίως αὐτὰ λέγειν εἶναι θερμὰ, ἀλλ' οὐ παραπλησίαν γε τὴν θερμὴν οὐσίαν ἐν ἀμφοτέροις αὐτοῖς ὑπάρχειν ἐροῦμεν, τῆς μὲν τῶν παίδων ὑγρᾶς οὔσης, τῆς δὲ τῶν ἀκμαζόντων ξηρᾶς. ἡ μὲν γὰρ ὑγρὰ κατὰ τὸ ἔμφυτον θερμὸν μάλιστα, ἐξ ὑγροῦ γὰρ ἡ γένεσις ἡμῖν, ἡ δὲ ξηρὰ κατὰ τὸ ἐπίκτητον. οὕτως οὖν οἱ μὲν ἄρτι γεγενημένοι παῖδες, οὐσίας θερμῆς ὑδατώδους τε καὶ ἀερώδους πλείστης μετέχοντες, πλεῖστον ἂν ἔχειν λέγονται τὸ ἔμφυτον θερμὸν, οἱ δ' ἀκμάζοντές τε καὶ παρακμάζοντες, εἰς ὅσον αὖται μὲν ἐνδέουσι, περιττεύει δὲ ἡ γεώδης εἰς τοσοῦτον καὶ τὴν οὐσίαν ἔχουσιν ἐλάττονα τοῦ ἐμφύτου θερμοῦ. ὅτι δ' ἀπορρεῖν ἀναγκαῖόν ἐστι τῆς ὑγρᾶς καὶ ἀερώδους οὐσίας πλέον ἢπερ τῆς γεώδους, κἂν ὁμοίως ἀμφότεραι θερμαὶ τυγχάνωσιν οὖσαι κατὰ τὴν ποιότητα, πρόδηλον παντί. θεάσασθαι γοῦν σοι τοῦτο κἀπὶ τῶν ἐκτὸς ἐναργῶς ὑπάρχει. τῶν
17b.411 γὰρ εἰς τὴν ὁμοίαν ἡκόντων θερμότητα σωμάτων οὐκ ἴσον ἀπορρεῖν φαίνεται, ἀλλὰ τῶν μὲν ξηρῶν ἐλάχιστον, τῶν δ' ὑγρῶν πλεῖστον. αὐτίκα γοῦν ὕδατος μὲν καὶ ἐλαίου θερμῶν μετρίως γενομένων πλεῖστον

ἀπορρεῖ καὶ διαφορεῖται, σιδήρου δὲ καὶ χαλκοῦ καὶ λίθων ἐλάχιστον, ὥστε καὶ εἰ καταθεῖναι βουληθείης εἰς ἥλιον θερμότατον ὕδωρ, εἰ οὕτως ἔτυχε, καὶ σίδηρον ἴσα τῷ σταθμῷ ποιήσας, εἶτα διελθούσης ὅλης τῆς ἡμέρας ἄμφω στῆσαι, τὸ μὲν ὕδωρ εὑρήσεις ἔλαττον ἑαυτοῦ παραπολὺ γεγενημένον, τὸν δὲ σίδηρον ἴσον. οὕτως δὲ καὶ ἔλαιον εἰ θέλεις παραβάλλειν χαλκῷ καὶ σιδήρῳ καὶ λίθῳ, τὸ μὲν ἐκδαπανώμενον εὑρήσεις, τὰ δ' ὑπομένοντα κατὰ τὸν ὄγκον τῆς οὐσίας. ἐντεῦθεν δὲ μεταβαίνων ἐπὶ κηρόν τε καὶ πίτταν, ἄσφαλτόν τε καὶ ῥητίνην, ὅσα τ' ἄλλα πλείστης ὑγρᾶς οὐσίας μετέχει, θεάσῃ καὶ ταῦτα ἐν ἡλίῳ θερμῷ πολὺ πλέον δαπανώμενα καὶ ἀπορρέοντα ἤπερ τοῦ λίθου τε καὶ χαλκοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων τῶν οὕτω ξηρῶν. ὥστ' εἴπερ ἡ χρεία τῆς τροφῆς ἀναπλήρωσίς ἐστι τῶν ἀπορρεόντων ἐκ τοῦ σώματος, ἀπορρεῖ δὲ
17b.412 τῶν ὑγροτέρων τε καὶ ἀερωδεστέρων πλέον, ἀναγκαῖον καὶ τροφῆς πλείονος δεῖσθαι τὰ τοιαῦτα. τὸ δὲ τῶν παίδων σῶμα τοιοῦτόν ἐστιν, ὑγρᾶς καὶ ἀερώδους οὐσίας πλέον μετέχον, οὐχ ὡς τοῦ τῶν ἀκμαζόντων καὶ παρακμαζόντων καὶ γερόντων, ξηρᾶς καὶ γεώδους. ὁ τοίνυν Ἱπποκράτης ἐπειδὴ προὔκειτο κατὰ τόδε τὸ βιβλίον αὐτῷ σύντομόν τε καὶ ἀφοριστικὴν ποιεῖσθαι τὴν διδασκαλίαν, οὐχ οὕτως διῆλθεν τὸν λόγον ὡς ἐγὼ νῦν, ἀλλ' ἀντὶ τοῦ φάναι τὰ αὐξανόμενα, κἂν ἴσον ἐν αὐτοῖς ἔχῃ θερμῆς οὐσίας καὶ πυρώδους τοῖς ἀκμάζουσιν, ἀλλὰ τῆς γε ὑδατώδους καὶ ἀερώδους οὐσίας πλέον ἔχει τὰ αὐξανόμενα, πλεῖστον εἶπεν ἔχειν τὸ ἔμφυτον θερμὸν, ἅμα μὲν ἀναμιμνήσκων ἡμᾶς τῆς οὐσίας αὐτῶν, ἅμα δὲ τὸ προκείμενον ἀποδεικνύς. ἐπειδὴ γὰρ ὑγρὰν καὶ θερμὴν ἔχει τὴν οὐσίαν τὰ αὐξανόμενα, διὰ τοῦτο πλεῖστον ἀπορρεῖν αὐτῶν ἀναγκαῖόν ἐστι, πλείστης τε δεῖται τροφῆς. εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεσθαί φησιν εὐλόγως. ἔνθα γὰρ τὸ μὲν ἀπορρέον πλεῖστον, τὸ δ'
17b.413 ἐπιρρέον ὀλίγον, ἐνταῦθα ἀναγκαῖον διαφθείρεσθαι τὴν ὑποκειμένην οὐσίαν. γέρουσι δ' ὀλίγον τὸ θερμὸν, τούτοις μέν γε κατ' ἄμφω τὰ σημαινόμενα τῆς προσηγορίας ὀλίγον ὑπάρχει τὸ θερμὸν, εἴτ' ἐπὶ τὴν ποιότητά τις ἀναφέρει τὸν λόγον εἴτ' ἐπὶ τὴν οὐσίαν. καὶ γὰρ καὶ ἡ ποιότης ἀμυδρὰ καὶ ἡ οὐσία ἐλαχίστη, εἴπερ τι μεμνήμεθα τῶν προειρημένων. διὰ τοῦτ' ἄρα, φησὶν, ὀλίγων ὑπεκκαυμάτων δέονται· ὑπεκκαύματα τὰς τροφὰς ὠνόμασεν, ἑπόμενος τῷ ἑαυτοῦ δόγματι καὶ

σχεδὸν ἁπάντων τῶν ἐνδοξοτάτων φιλοσόφων, οἵτινες τῶν συντιθέντων στοιχείων τὰ ζῶα τὸ θερμὸν αἰτιώτατον ἐνόμιζον εἶναι τῆς ζωῆς. ὥσπερ γὰρ αἱ λυχνιαῖοι φλόγες, καίτοι τροφὴν ἔχουσαι τοὔλαιον, ὅμως ἐὰν ἀθρόως τις ἐπιχέῃ, σβέννυνται μᾶλλον ἢ τρέφονται, κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ἐν τοῖς γέρουσι θερμὸν ὑπέκκαυμα μὲν ἔχει τὰς τροφὰς, εἰ δὲ πολλαῖς καὶ ἀθρόαις ἐπισωρεύσεσι καταπνίγοιτο, σβεσθῆναι κίνδυνος αὐτὸ, καθάπερ εἰ καὶ σμικρῷ σπινθῆρι πυρὸς, πλῆθος ἐπισωρεύσαις ξύλων. καὶ διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖς γέρουσιν οὐχ ὁμοίως ὀξέες, τὸ δ’
17b.414 ἐπιφερόμενον τεκμήριον οὕτως ἐστὶν καὶ αὐτὸ τοῦ ψυχρὸν εἶναι τὸ τῶν γερόντων σῶμα καὶ ὅτι μάλιστα τροπῇ τῆς ἐμφύτου θερμότητος ἐπὶ τὸ πυρῶδες ὁ πυρετὸς γίνεται. ἀλλά τοι τηλικαύτην τροπὴν συμβῆναι τοῖς γέρουσιν, ὡς εἰς ἴσον ἀφικέσθαι τῇ τῶν νεωτέρων, οὐ πάνυ τι δυνατόν, τὸ μὲν γὰρ πολὺ θερμὸν ἑτοίμως ἐπὶ μήκιστον αἴρεται, τὸ δ’ ὀλίγον οὐ ῥᾳδίως, ἀλλὰ μεγίστης δεῖται τῆς βιαζομένης αἰτίας αὐτό. διὰ τοῦτο οὖν οὔτε πυρέττουσιν οἱ γέροντες, ὁμοίως τοῖς νέοις ὀξεῖς πυρετοὺς ὡς τὰ πολλὰ καὶ εἴ που σπανίως γένοιτό τις ὀποῖος ἐν νέῳ, πάντως οὗτος εἰς ὄλεθρον τοῦ κάμνοντος τελευτᾷ. ἐνδείκνυται γὰρ ἐξαίσιόν τι μέγεθος τῆς ἐργαζομένης αὐτὸν αἰτίας. ταῦτα ἀρκεῖ τοῖς κατὰ φύσιν ἔχουσιν εἰς νόησίν τε καὶ πίστιν ὧν Ἱπποκράτης ἔγραψεν· ὅσοι δὲ οὐκ ὀρθῶς ἐνεκάλεσαν αὐτῷ, καθάπερ καὶ Λύκος, ἓν ὅλον πρὸς ἐκείνους ὑπ’ ἐμοῦ γέγραπται βιβλίον ἀπολογούμενον ὑπὲρ ὧν ἐπηρεάζουσιν τὸν ἀφορισμόν. ἐπιγέγραπται δὲ τὸ βιβλίον πρὸς Λύκον, ὅτι μηδὲν ἡμάρτηται
17b.415 κατὰ τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. ἐδόθη δέ μοι τὸ τοῦ Λύκου βιβλίον ἤδη γεγραμμένων τῶν ὑπ’ ἐμοῦ ὑπομνημάτων. ὅθεν αὐτὸς μὲν τούτοις ἐνέθηκα τήνδε τὴν ῥῆσιν οὐκ οὖσαν ἐν τοῖς προεκδοθεῖσιν· ἰδίᾳ δὲ καθ’ ἕτερον βιβλίον ἀπελογησάμην ὑπὲρ ὧν ἐνεκάλεσεν Ἱπποκράτει. — — —

ιε′. Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖον ἔχουσι, τροφῆς οὖν πλείονος δέονται. σημεῖον αἱ ἡλικίαι καὶ ἀθληταί.— — —

Αἱ ὧραι τοῦ ἔτεος συντελοῦσιν εἰς τὴν δίαιταν οὐκ ὀλίγον. ἐν μὲν γὰρ τῷ
17b.416 χειμῶνι καὶ ὀρέγονται πλειόνων οἱ ἄνθρωποι καὶ πέπτουσι ῥᾷον αὐτὰ,
κατὰ δὲ τὸ θέρος ἔμπαλιν. τὴν δὲ αἰτίαν αὐτὸς ὁ Ἱπποκράτης εἶπεν
ἀποφηνάμενος, τὰς κοιλίας χειμῶνος καὶ ἦρος θερμοτάτας εἶναι. τί δέ
ἐστιν αὐτὸ τὸ φύσει καὶ ὅτι οὐ μάτην αὐτῷ προσέθηκεν ἐν τῷδε τῷ
ἀφορισμῷ ὀλίγον ὕστερον ἐξηγήσατο, φάμενος, καὶ γὰρ τὸ ἔμφυτον
θερμὸν πολὺ πλείστης οὖν τροφῆς δεῖται. αἱ γοῦν κοιλίαι χειμῶνος καὶ
ἦρος θερμόταται οὐχ ἁπλῶς, ἀλλὰ τῷ φυσικῷ θερμῷ θερμόταται, οὗ τὴν
οὐσίαν ἔμπροσθεν ἐδήλωσα. διὰ τί δὲ τοῦ χειμῶνος αὐξάνεται τοῦτο καὶ
Ἀριστοτέλης εἶπεν, ὑποφεύγει γὰρ διὰ τὸ περιιστάμενον ἔξωθεν κρύος,
ὥσπερ αὖ πάλιν ἐν τῷ θέρει πρὸς τὸ συγγενὲς ἀποτείνεται. καὶ οὕτω
συμβαίνει διαφορεῖσθαι μὲν αὐτοῦ καὶ σκεδάννυσθαι τὴν οὐσίαν ἐν τῷ
θέρει, συνέχεσθαι δὲ καὶ σφίγγεσθαι καὶ εἰς βάθος ὑποχωρεῖν ἐν τῷ
χειμῶνι. διὰ τοῦτο οὖν καὶ αἱ πέψεις καὶ αἱ ἐξαιματώσεις καὶ αἱ θρέψεις
ἀμείνους εἰσὶν ἐν ταῖσδε ταῖς ὥραις. προσέθηκε δὲ καὶ ἄλλο τι
17b.417 συμβεβηκὸς αὐτοῖς τὸ καὶ τοὺς ὕπνους μακροτάτους γίνεσθαι, διὰ τὸ
μῆκος δηλονότι τῶν νυκτῶν, οὐ σμικρὸν οὐδ' αὐτὸ συντελοῦν εἰς τὰς
φυσικὰς ἐνεργείας. τὸ δ' ἐπὶ τέλει προσκείμενον σημεῖον, αἱ ἡλικίαι καὶ
οἱ ἀθληταὶ τοῦ δεῖσθαι τροφῆς, ἔνθα πλεονάζει τὸ θερμὸν ἀξιόλογον
τεκμήριόν ἐστιν. οἵ τε γὰρ παῖδες διότι τὸ θερμὸν ἔχουσι πλεῖστον, διὰ
τοῦτο καὶ δέονται πλειόνων καὶ περιγίνονται· οἵ τε ἀθληταὶ διότι τοῖς
γυμνασίοις αὐξάνουσι τὴν ἔμφυτον θερμασίαν, διὰ τοῦτο καὶ τροφῶν
ἀπολαύειν δύνανται πλειόνων. τὰ μὲν οὖν εἰρημένα κατὰ τὸν ἀφορισμὸν
αὐτάρκως ἐξηγησάμεθα· περὶ δὲ τῆς ἐν αὐτοῖς ἀληθείας εἴ τις σκοποῖτο,
μὴ κατὰ πάντων ἐκτεινέτω τῶν ζώων τὸν λόγον, ἀλλ' ἀποχωριζέτω τὰ
φωλεύοντα. ταυτὶ γὰρ οὐ δεῖται πλείονος τροφῆς ἐν τῷ φωλεύειν· εἴ γε
καὶ μηδ' ὅλως ἐσθίοντα διαρκεῖ καὶ καθ' ὑπόθεσιν προσηνέγκατο
τοσαύτην ὅσην πρὶν φωλεύειν ἐχρῆτο, κακῶς ἂν αὐτὴν ἔπεψεν. ὁποῖον
γάρ τι κατὰ τὰς ψυχρολουσίας συμβαίνει τοῖς ἀνθρώποις, τοιοῦτον τοῖς
ζώοις ἐν τῷ χειμῶνι. συμβαίνει δὲ τοῖς ἐν ψυχρῷ λουομένοις, οἷς μὲν
17b.418 ἀσθενές ἐστι τὸ σῶμα, ψύχεσθαί τε καὶ βλάπτεσθαι, οἷς δὲ ἰσχυρὸν ἐν μὲν
τῷ παραχρῆμα τὴν θερμασίαν εἰς τὸ βάθος ὑποφεύγουσαν ἀθροίζεσθαι,
μετὰ δὲ ταῦτα πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἐπανέχεσθαι καὶ πολὺ πλείονα

τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῆς. οὕτω δὲ καὶ τῶν ζώων ὅσα μέν ἐστι ψυχρότερα φύσει, νικᾶται τούτων ὑπὸ τοῦ κατὰ τὸν χειμῶνα κρύους, τὸ ἔμφυτον θερμὸν ὡς ὀλίγου δεῖν αὐτὸ ἀποσβέννυσθαι καὶ διὰ τοῦτ' αὐτῶν τὰ πλεῖστα παραπλήσια νεκροῖς ἔστιν ἰδεῖν, ἀναίσθητά τε ἅμα καὶ ἀκίνητα κατὰ τοὺς φωλεοὺς κείμενα. τινὰ δὲ καὶ παντάπασιν ἐν τῷ τοιούτῳ πάθει διαφθείρεται. τὰ δὲ πολυαιμότερα καὶ θερμότερα τῶν ζώων ὅμοιόν τι πάσχει κατὰ τὸν χειμῶνα τῷ συμβαίνοντι τοῖς ἰσχυροῖς σώμασιν ἐπὶ τοῖς ψυχροτέροις λουτροῖς. ἀθροίζεται γὰρ αὐτῶν ἐν τῷ βάθει τὸ θερμὸν, οὐ μὰ Δία τῶν σαρκῶν ἀποφευγουσῶν εἰς τοῦτο καὶ καταλιπούσης ἑκάστης ἣν ἐξ ἀρχῆς εἴληφε χώραν, ἀλλὰ τοῦ πνεύματος ἅμα τῷ αἵματι. τρία δ' ἦν ταῦτα σώματα τὰ τὴν ἀρχέγονον ἡμῶν οὐσίαν
17b.419 συμπληροῦντα, πνεῦμα καὶ αἷμα καὶ ἡ ὀρρώδης ὑγρότης, ἐξ ἧς κατ' ἀρχὰς μὲν, ὡς ἐν τοῖς περὶ σπέρματος ἐδιδάξαμεν, ἡ γένεσις τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ὕστερον δὲ ἡ αὔξησίς τε καὶ θρέψις ἐν τούτοις προσέρχεται. ὅτι μὲν οὖν ἄμεινον ἐν τῷ χειμῶνι πέπτομεν, τοῦ αἵματος εἴσω καὶ τοῦ πνεύματος εἰς τὸ βάθος ὑποκεχωρηκότων, εὔδηλον παντί. λέγει γοῦν οὐ τοῦτο μόνον ὁ Ἱπποκράτης, ἀλλ' ὅτι καὶ συμφέρει πλείω λαμβάνειν. ἐν ταύτῃσι γὰρ, φησὶ, τῇσιν ὥρῃσι, τοῦτ' ἔστι χειμῶνος καὶ ἦρος, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ μὴν εἴπερ γε ὀλίγον ἀπορρεῖ καὶ διαπνεῖται χειμῶνος εἰς τοὐκτὸς, οὐ δεῖται τὰ σώματα πολλοῦ τοῦ θρέψοντος, ἀναπλήρωσις γάρ ἐστι τοῦ κενωθέντος ἡ θρέψις. ἀνάλογον οὖν εἶναι χρὴ τὸ ποσὸν τῆς τροφῆς τῷ ποσῷ τῆς διαπνοῆς. ὅτι μὲν οὖν ἐστιν ἀληθὲς τὸ μὴ μόνον ἐν χειμῶνι πέττειν ἡμᾶς ἄμεινον, ἀλλὰ καὶ λαμβάνοντας ὀλίγα, καταψύχεσθαί τε καὶ διὰ τοῦτο βλάπτεσθαι, προσφερομένους δὲ πλείονα μηδενὶ τῶν πληθωρικῶν ἁλίσκεσθαι νοσημάτων αὐτὸ τὸ γενόμενον ἐναργῶς μαρτυρεῖ. τῆς δὲ αἰτίας ἡ ζήτησις
17b.420 ἐν κοινῷ προκείσθω· οὐ γὰρ δὴ Ἱπποκράτει γε μόνῳ μάχεται τὸ προβεβλημένον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν. οὐδεὶς οὖν ἐστιν ὃς οὔ φησι διαπνεῖσθαι τὰ τῶν ζώων σώματα τῇ διὰ τῶν ἀδήλων αἰσθήσει διαπνοῇ πόρων. φανερὸν γὰρ τῷ εἰς χρείαν ἥκειν τροφῆς ὅτι κενοῦται, ὡς εἴ γε μηδὲν ἡμῶν ἀπέρρει, διὰ παντὸς δ' ἐφυλάττετο τῆς οὐσίας ὁ ἀρχαῖος ὄγκος, οὐκ ἂν οὐδὲ τροφῆς ἐδεόμεθα. σκόπει τοίνυν εἰ κἀνταῦθα τοῖς μὲν ἄλλοις ἅπασιν ἄπορος ὁ λόγος Ἱπποκράτει δὲ καὶ τοῖς ἀπ' αὐτοῦ

μόνοις εὔπορος. οὐ γὰρ ἄλλο τι τὸ διαπλάσαν ἐξ ἀρχῆς τὸ ζῶον, ὥσπερ οὐδ' αὖθις αὐξῆσαν, ἢ μέχρι τελευτῆς τρέφον, ὅτι μὴ τὸ θερμὸν τοῦτο τὸ ἔμφυτον, ὑπὲρ οὗ νῦν ὁ λόγος ἐστὶν αὐτῷ. τοιγαροῦν τοῦτο πάντων τῶν φυσικῶν ἔργων αἴτιον ὑπάρχον, ἐπειδὴ πλεῖόν ἐστιν ἐν τῷ χειμῶνι καὶ τὰς ὀρέξεις ἐπιτείνει καὶ τὰς πέψεις αὐξάνει καὶ πλέον ἀθροίζει τὸ αἷμα καὶ παχύνει τὸ σῶμα καὶ τοῦ κενοῦν τὰ περιττώματα προνοεῖται. τὸ μὲν γὰρ πέριξ θάλπος οὐ τὰ περιττὰ μόνον, ἀλλὰ καὶ πάνθ' ὁμοτίμως ἐκκενοῖ
17b.421 διαφοροῦν ἅμα τοῖς περιττοῖς τῶν ἐν τῷ ζώῳ καὶ τὰ κατὰ φύσιν ἐν αὐτῷ περιεχόμενα κατὰ τὴν ὑπὸ τῶν ἰατρῶν ὀνομαζομένην ἄδηλον διαπνοὴν, ἔμφυτον ἐργάζεται θερμόν. οὐ γὰρ δὴ ἄλλο τι τοῖς ζώοις ἡ φύσις ἐστὶν ἢ τοῦτο κατὰ τὸν Ἱπποκράτους λόγον. δέδεικται δ' ὑφ' ἡμῶν ἐν τοῖς περὶ φυσικῶν δυνάμεων οὐ μόνον ὀρεγομένη καὶ κατεργαζομένη καὶ προσφύουσα τοῖς μορίοις ἡ φύσις ἑκάστῳ τὴν οἰκείαν τροφὴν, ἀλλὰ καὶ διαφοροῦσα τὰ περιττώματα ταύτης καὶ ὅσῳ περ ἂν ᾖ ῥωμαλεώτερον τὸ ἔμφυτον θερμὸν, τοσοῦτο μᾶλλον ἐκφεύγει τὴν αἴσθησιν ἡ διαπνοή. καὶ διὰ τοῦτο παρὰ φύσιν εἶναι τοὺς ἱδρῶτας ὁ Διοκλῆς εἶπεν, ὅτι καλῶς ἁπάντων διοικουμένων τῶν κατὰ τὸ σῶμα, κρατουμένης τῆς τροφῆς ὑπὸ φύσεως, οὐκ ἄν ποτε αἰσθητὴ διὰ τοῦ δέρματος ὑγρότης ἐκκριθείη. ὅσα γὰρ ἐν βαλανείοις ἢ γυμναζομένοις σφοδρῶς ἢ διὰ θερινὸν θάλπος ἱδροῦσιν ἄνθρωποι, βιαίων αἰτίων εἰσὶν ἔγγονα. καλῶς οὖν ἐν τῷ χειμῶνι διοικεῖται πάντα τὰ κατὰ τὸ ζῶον, ὅταν γε μέτριος ὑπάρχῃ
17b.422 δηλονότι. τὰς γὰρ ἀμέτρους δυσκρασίας καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τοῖς ἐφεξῆς μέμφεται. γνωρίσματα δὲ οὐ σμικρὰ τοῦ καλῶς διοικεῖσθαι πάντα τὰ κατὰ τὸ ζῶον ἐν τῷ χειμῶνι τῶν κατὰ φύσιν ἔργων ἡ ῥώμη. πέττεται μὲν γὰρ ἐν τῇ γαστρὶ τὰ σιτία, διότι πλεῖστόν ἐστι τὸ κατὰ φύσιν θερμὸν, ὕπνοις τε ἅμα μακροτέροις ἐκκαθαίρεται τὰ περιττώματα τοῦ σώματος, ὅσα μὲν ἀκριβῶς λελέπτυνται διὰ τοῦ δέρματος, ὅσα δὲ ἀτμώδη, διὰ τῆς ἐκπνοῆς, ὅσα δ' ἱκανῶς παχέα, διὰ τῶν οὔρων. ὑφίσταται γὰρ αὐτοῖς πολὺ πλέον ἢ κατὰ τὸ θέρος πρὸς τῷ καὶ τὸ πλῆθος τῶν οὔρων ὅλων ἱκανῶς αὐξάνεσθαι κατὰ τὸν χειμῶνα. καὶ μὴν καὶ τρέφεται μὲν καὶ σαρκοῦται τὰ σώματα μᾶλλον ἐν τῷ χειμῶνι καὶ πλῆθος αἵματος ἀθροίζει χρηστοῦ, τοῖς γε μὴ παντάπασι μοχθηρῶς διαιτωμένοις. εἰ γὰρ ἐννοήσεις ὡς ὀλίγαιμόν τε καὶ ἰσχνὸν τὸ σῶμα ἡμῶν παρὰ τοῦ φθινοπώρου

διαδεχόμενος ὁ χειμὼν εὔχυμόν τε καὶ παχύτερον ἀπεργάζεται, γνωρίσεις, οἶμαι, τὴν ῥώμην τῆς διοικούσης ἡμᾶς δυνάμεως, ἥτις ἐστὶ τὸ
17b.423 ἔμφυτον θερμόν. ἀλλ᾽ εἰ μὴ τροφῆς ἀπολαύσει δαψιλοῦς τοῦτο, νικηθήσεται μὲν αὐτὸ πρῶτον ὑπὸ τοῦ περιέχοντος κρύους, ἔξωθέν τε προσπίπτοντος καὶ διὰ τῆς εἰσπνοῆς ἑλκομένου, συναρρωστήσει δ᾽ αὐτῷ καὶ πέψις σιτίων καὶ γένεσις αἵματος χρηστοῦ καὶ θρέψις τῶν τοῦ ζώου μορίων καὶ περιττωμάτων κένωσις. εἰ δ᾽ ὅσον κρατεῖν δύναται σιτίων, ἀπολαύει τούτων δαψιλῶς, αὐτό τ᾽ ἂν αὐξηθείη καὶ πάνθ᾽ ὅσα προείρηται, διαπράξεται περὶ τὸ ζῶον. ὅτι δ᾽ ἐκ τοῦ προσφέρεσθαι πλείω σιτία καὶ κατεργάζεσθαι καλῶς, οὐκ ἐν τῇ γαστρὶ μόνον, ἀλλὰ κἀν ταῖς φλεψὶ καὶ παντὶ τῷ τοῦ ζώου μορίῳ, πολὺ μὲν εὐσαρκότερον ἕκαστον ἑαυτοῦ γίνεται καὶ πολὺ εὐαιμότερον, ἱκανῶς ἐνδείκνυται καὶ τὸ διὰ τῆς πείρας ἐγνωσμένον τοῖς ἀνθρώποις, οὐκ ἐφ᾽ ἑαυτῶν μόνων, ἀλλὰ καὶ τῶν ὑποζυγίων. πρὶν γὰρ ἄρξασθαι τὸ θέρος ἐν τοῖς τελευταίοις τοῦ ἦρος, αἵματος ἀφαιροῦσιν ἑαυτῶν τε κἀκείνων, ἀναμιμνησκόμενοι τῶν καταλαμβανόντων αὐτοὺς νοσημάτων, ὅταν ἐξαίφνης ἐπιγίνηται θέρος θερμόν. ἐκτείνει γὰρ ἐπὶ πλεῖον τοῦτο καὶ χεῖ τὸ αἷμα καὶ ὥσπερ τινὰ
17b.424 ζέσιν αὐτοῦ κατασκευάζει, ὡς μηκέτ᾽ ἐν ταῖς φλεψὶ στέγεσθαι τὸ τέως σύμμετρον, ἀλλ᾽ ἤτοι ῥηγνύειν αὐτὰς ἢ ἀναβιβρώσκειν· καὶ ὅταν ἀμετρότερον ἐφ᾽ ἕν τε μόριον, ὅπερ ἂν ἁπάντων ἀσθενέστερον, ᾖ, ῥυῇ, φλεγμονὴν ἢ ἐρυσίπελας, ἤ τι τοιοῦτον ἕτερον ἐν τούτῳ νόσημα ἐργάζεται. πολὺ γὰρ πλείω τε καὶ μείζω τῶν πληθωρικῶν νοσημάτων ἐκ τῆς τῶν χυμῶν γίνεται χύσεως. ἅπαντα οὖν ταῦτα μαρτυρεῖ τοῖς ἄλλοις, ὅσα κατὰ τὸν προκείμενον ἀφορισμὸν ὁ Ἱπποκράτης ἐδίδαξε, καὶ τὸ μὴ μόνον δύνασθαι πέττειν πλείω σιτία κατὰ τὴν ὥραν ἐκείνην, ἀλλὰ καὶ δεῖσθαι πλειόνων. ἀνάλογον γὰρ ἀεὶ χρὴ εἶναι τὰ σιτία τῷ πλήθει τῆς ἐμφύτου θερμασίας, πλὴν εἴ ποτε, ὡς ἔφην, ἐκ τῆς τοῦ περιέχοντος θερμασίας ἀσθενὴς γενομένη ἡ φύσις ἀφαιρεῖν ἀναγκάζει. διὸ καὶ περὶ τοῦ ἦρος, ἀδιοριστότερον εἰπόντος Ἱπποκράτους ἐγὼ διορισοῦμαι, πρῶτον μὲν ὅτι κατὰ τὴν ἀρχὴν ὅμοιόν ἐστι μᾶλλον κράσει χειμῶνος ἢ θέρους, ἐπὶ δὲ τῆς τελευτῆς ἔμπαλιν. εἶθ᾽ ὅτι πολλάκις μὲν οἷον χειμῶνος γίνεται
17b.425 ψυχρὸν, ἐνίοτε δὲ οἷόν περ θέρος θερμόν. ἐν μὲν οὖν τοῖς πρώτοις αὐτοῦ μέρεσι κἀπειδὰν γένηταί ποτε ψυχρὸν, ὁμοίαν τῇ χειμερινῇ ποιησόμεθα

τὴν δίαιταν· ἐν δὲ τοῖς ὑστέροις μέρεσιν ἐπειδὰν γένηταί ποτε θερμότερον, ὁμοίαν τῇ θερινῇ, μέσου δ' ὄντος τῇ κράσει καὶ τὴν δίαιταν ἀνάλογον τῇ κράσει ποιησόμεθα. ταῦτα μὲν οὖν πάντα περὶ τῆς τῶν ὑγιαινόντων εἴρηται διαίτης· ἑξῆς δὲ περὶ τῆς τῶν νοσούντων λέγει. — — —

ιστ'. Ὑγραὶ πᾶσαι δίαιται τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.— — —

Ἐν μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς περὶ τοῦ κατὰ τὴν δίαιταν ποσοῦ τὴν διδασκαλίαν ἐποιήσατο, νυνὶ δὲ περὶ τοῦ ποιοῦ διεξέρχεται, πολλὰ καὶ
17b.426 χρήσιμα τῶν κατὰ τὴν τέχνην ἐν βραχυτάτῳ διδάσκων λόγῳ. πρῶτον μὲν ὅπως χρὴ διαιτᾶν τοὺς πυρέττοντας, εἶθ' ὅτι τὰς ἐνδείξεις τῶν ὑγιεινῶν διαιτημάτων ἐπὶ μὲν τῶν παρὰ φύσιν ἐναντίας, ἐπὶ δὲ τῶν κατὰ φύσιν ὁμοίας χρὴ ποιεῖσθαι. τῷ μὲν γὰρ πυρετῷ, διότι θερμὸν καὶ ξηρὸν ὑπάρχει πάθος — ἔστι γὰρ τροπὴ τῆς ἐμφύτου θερμασίας ἐπὶ τὸ πυρῶδες — ὑγρὰν δίαιταν συμβουλεύει. ταῖς δ' ὑγροτέραις φύσεσιν, εἴτε δι' ἡλικίαν εἴτε δι' ἔθος, οὐ τὴν ἐναντίαν, ἀλλὰ τὴν οἰκείαν. φυλάττεσθαι γὰρ αὐτῶν δεῖ διὰ τῶν ὑγρῶν τὴν φύσιν οὐκ ἀνασκευάζεσθαι, καθάπερ τὰ νοσήματα. ὅσοι δὲ τοὺς ἅμα πυρετοῖς ὑδέρους προχειριζόμενοι τῷ λόγῳ διαβάλλειν οἴονται τὸν ἀφορισμὸν, ὡς οὐ χρὴ ἐκείνων ζώντων ὑγρᾶς, ἀλλὰ ξηρᾶς διαίτης, ἀγνοοῦσιν ἀναγκαιότατόν τε τῆς θεραπευτικῆς μεθόδου κεφάλαιον, ὅπερ ἡμεῖς ἐπὶ πλέον ἐν ἐκείνῃ τῇ πραγματείᾳ διεληλύθαμεν, ὡς ἕκαστον μὲν τῶν ἁπλῶν παθῶν ἰδίας δεῖται θεραπείας, ἐπιπλεκομένων δ' ἀλλήλοις εἰς ὅσον ἂν ἐπιπλέκηται, εἰς τοσοῦτον ἕξει κοινὴν καὶ τὴν τῆς θεραπείας ἔνδειξιν, ἤτοι πρὸς τὸ
17b.427 κατεπεῖγον ἡμῶν ἱσταμένων, μετὰ τοῦ μηδὲ ἑτέρων παντάπασιν ἀμελεῖν ἢ ὁμοτίμως ἅπασι βοηθούντων. τὸ δὲ τῶν πυρεσσόντων ὑδρωπικῶν μεμνῆσθαι τοιοῦτόν ἐστιν οἷον καὶ τὸ τῶν αἷμα πτυόντων πλευριτικῶν. καὶ γὰρ ἐπὶ τούτων ἐναντίας μὲν δεῖται θεραπείας τὰ πάθη, αἵματος ἀναγωγὴ καὶ πλευρῖτις· ἀλλ' εἴπερ ἅμα συμβαίη τινὶ πρὸς τὸ κατεπεῖγον, ἵστασθαι μᾶλλον ἐν αὐτοῖς χρὴ, μὴ ἀμελοῦντας μηδὲ τοῦ ἑτέρου. οὕτως οὖν εἰ πυρέττει τις ἅμα καὶ ὑδρωπικὴν ἔχει διάθεσιν, εἰς ἄμφω τὰ πάθη βλέποντες ἐναντίας θεραπείας δεόμενα, πρὸς ἑκάτερον αὐτῶν τῶν

παθῶν εὐμηχάνως ἱστάμεθα, καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι τοῖς οὕτως ἐπιπλεκομένοις. οὔκουν τοιοῦτον οὐδὲν οὔθ' ἡμεῖς ἐροῦμεν οὔθ' ἑτέρου λέγοντος προσοισόμεθα. καὶ εἴ τι μὴ ῥητῶς ὠνόμασται κατὰ τὸν ἀφορισμὸν, ἐκ τῆς αὐτῆς ὑπάρχον τῆς εἰρημένης κρίσεως καὶ τοῦθ' ἡγητέον εἰρῆσθαι δυνάμει, ἡλικίας μὲν γὰρ ἐμνημόνευσε καὶ ἔθους· σὺ δ' ἂν καὶ τῆς φυσικῆς κράσεως καὶ ὥρας καὶ χώρας εὐλόγως μνημονεύσεις, ἅπερ ἐνίοτε καὶ αὐτὸς μὲν Ἱπποκράτης προστίθησιν, ἐνίοτε δ' ἑνὸς ἢ δυοῖν μνημονεύσας τὰ λοιπὰ τῶν ἐκ τῆς αὐτῆς συστοιχίας παραλείπει.

17b.428 γίνονται δὲ καὶ ἀπὸ τούτων ἐνδείξεις, ὥσπερ ἔμπροσθεν ἀπό τε τῆς ἡλικίας ἐρρέθη καὶ τοῦ νοσήματος· ὅσα μὲν ἄμεμπτα φυλαττόντων ἡμῶν αὐτὰ τοῖς ὁμοίοις τῇ κράσει διαιτήμασιν, ὅσα δὲ μεμπτὰ τοῖς ἐναντίοις ἐπανορθουμένων. εἴρηται δὲ τελεώτερον περὶ πασῶν ἐνδείξεων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι. — — —

ιζ′. Καὶ οἷσιν ἅπαξ ἢ δὶς καὶ πλείω ἢ ἐλάσσω καὶ κατὰ μέρος. δοτέον δέ τι καὶ τῇ ὥρῃ καὶ τῇ χώρῃ, τῇ ἡλικίῃ καὶ τῷ ἔθει.— — —

Ἐπειδὴ τὸν περὶ τῆς ποσότητος καὶ ποιότητος ἐποιήσατο λόγον, ἑξῆς ἡμᾶς διδάσκει περὶ τοῦ τρόπου τῶν προσφερομένων. οὐ γὰρ ἱκανὸν αὐτὸ τοῦτο μόνον, ὅτι τῷδε πλέον ἢ ἔλαττον δοτέον γινώσκειν ἢ ὅτι

17b.429 ξηραινούσῃ χρηστέον ἢ ὑγραινούσῃ τροφῇ, ἀλλ' εἰ καὶ ἅπαξ ἢ καὶ πλεονάκις ἑκάστης ἡμέρας ἢ νυκτὸς εὔλογόν ἐστι προσφέρειν τὰς τροφὰς, ἀναγκαιότατα σκέπτεσθαι καὶ πρὸς ταῦτ' οὖν ἀπό τε τῆς ὥρας καὶ τῆς ἡλικίας καὶ τοῦ ἔθους ἔνδειξιν λαμβάνειν, καθάπερ ἐπὶ τοῦ ποσοῦ καὶ τοῦ ποίου. πρῶτοι μὲν γὰρ σκοποὶ καὶ πρὸς ταῦτα, τά τε νοσήματα αὐτὰ καὶ ἡ τοῦ κάμνοντος δύναμις, ἔτι τε ἡλικία καὶ ἡ ὥρα καὶ ἔθος, ὅσα τ' ἄλλα τούτοις ἀνάλογα. καὶ διὰ τοῦτο καὶ αὐτὸς ὁ Ἱπποκράτης προσέθηκεν τὸ δοτέον δέ τι καὶ τῇ ὥρῃ καὶ τῇ χώρῃ καὶ τῇ ἡλικίῃ καὶ τῷ ἔθει. σαφῶς δηλῶν διὰ τῆς, δοτέον δέ τι φωνῆς, ὡς οὔτε τὸ πᾶν οὔτε τὸ μέγιστον ἀπὸ τῶν τοιούτων λαμβάνει. τὸ γὰρ εἴτε πολλάκις εἴτ' ὀλιγάκις εἴθ' ὅλως χρὴ τρέφειν, ἀπό τε τοῦ νοσήματος καὶ τῆς δυνάμεως πρῶτον μάλιστα λαμβάνεται. μετὰ ταῦτα δὲ καὶ ἀπὸ τῆς ὥρας καὶ τῆς ἡλικίας καὶ τῶν τοιούτων. εἰ μὲν γὰρ ἥτε δύναμις εἴη τοῦ κάμνοντος ἀσθενὴς καὶ ἡ

17b.430 κατὰ τὸ σῶμα διάθεσις, ἤτοι κατὰ διαφθορὰν ἢ κατ' ἔνδειαν, ὀλίγην

τροφὴν πολλάκις τοῖς τοιούτοις δώσομεν, ὀλίγην μὲν ὅτι μὴ δύναται φέρειν εἰσάπαξ ἀθρόον πλῆθος ἄρρωστος δύναμις, πολλάκις δὲ ὅτι πολλῶν ἡ διάθεσις δεῖται. καὶ γὰρ ἡ ἔνδεια τῆς προσθέσεως δεῖται καὶ ἡ διαφθορὰ τῆς ἐπικράσεως. εἰ δ' ἀσθενούσης τῆς δυνάμεως μήτ' ἔνδειά τις συνυπάρχει μήτε διαφθορὰ, συμμετρία δὲ τῶν κατὰ φύσιν εἴη χυμῶν ἢ καὶ πλῆθος, ὀλιγάκις τε καὶ ὀλίγα τούτοις δώσομεν, ἔτι δὲ μᾶλλον εἰ τῆς δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης πλῆθος χυμῶν εἴη. εἰ δὲ μετ' ἐνδείας ἢ διαφθορᾶς ἡ δύναμις ἐρρωμένη τύχοι, καὶ πολλὰ καὶ πολλάκις σιτία τοῖς οὕτω κάμνουσι δώσομεν, ὡς ἂν καὶ τῆς διαθέσεως δεομένης πολλῶν καὶ τῆς δυνάμεως κρατεῖν αὐτῶν δυναμένης. μὴ συγχωρούντων δὲ τῶν παροξυσμῶν, μηδὲ πολλοὺς τῆς τροφῆς ἡμῖν καιροὺς παρεχόντων, ὀλιγάκις δώσομεν τὰ πολλά· τῆς μέντοι δυνάμεως ἰσχυρᾶς οὔσης μετὰ πληθωρικῆς διαθέσεως, ὀλιγάκις ὀλίγα δώσομεν. εἰ γὰρ καὶ τὸ
17b.431 κατεργαζόμενον ἔχοιμεν εὔρωστον, ἀλλὰ τῆς γε διαθέσεως μὴ δεομένης πολλῶν, εὔλογον ὀλίγα προσφέρειν. οὕτω μὲν ἀπό τε τοῦ νοσήματος καὶ τῆς δυνάμεως εἰς τὰ προκείμενα τὰς ἐνδείξεις ληπτέον, ἀπὸ δὲ τῆς ὥρας καὶ τῆς ἡλικίας καὶ τοῦ ἔθους καὶ ὅσα τ' ἄλλα τούτοις ἀνάλογα ὧδε. κατὰ μὲν τὴν θερινὴν ὥραν, ὅσον ἐπ' αὐτῇ τῇ ὥρᾳ, πολλάκις ὀλίγα δοτέον, ὅτι καὶ δέονται προσθήκης πλείονος, ὡς ἂν καὶ διαφορούμενοι καὶ ὅτι ἡ δύναμις αὐτῶν ἐστιν ἀσθενής. κατὰ δὲ τὴν χειμερινὴν πολλὰ μὲν διὰ τὴν ῥώμην τῆς δυνάμεως, οὐ πολλάκις δέ. οὐ γὰρ δέονται πάνυ πολλῆς προσθήκης οἱ κάμνοντες, ἅτε μηδὲ πολλὰ κενούμενοι. τοὺς γὰρ ὑγιαίνοντας ἔμπροσθεν ἐδείξαμεν ἱκανῶς κενουμένους ἐν χειμῶνι, διότι πλέον ἔχουσι τὸ ἔμφυτον θερμόν. κατὰ δὲ τὸ μέσον ἔτι τὸ ἔαρ, ἔτι δὲ καὶ μᾶλλον, ὅταν ἐγγὺς ᾖ τοῦ θέρους, ὀλίγοις τε καὶ διὰ πολλοῦ θρέψομεν. κινδυνεύει γὰρ ἥδε ὥρα πληθωρικῆς εἶναι διαθέσεως ἐγγὺς, διὰ τὴν τῶν
17b.432 ἐν χειμῶνι πεπηγότων χύσιν. ὥσπερ οὖν ἐν ταῖς πληθωρικαῖς διαθέσεσιν, ὅταν ἡ δύναμις ἰσχύῃ, τὴν τροφὴν ὀλίγην τε καὶ διὰ πολλοῦ χρόνου δίδομεν, οὕτω καὶ κατὰ τὴν ἐαρινὴν ὥραν ποιητέον ἐπὶ τῶν πυρεσσόντων μάλιστα, ὑπὲρ ὧν ὁ λόγος οὗτός ἐστι τῷ Ἱπποκράτει. τὴν γὰρ τῶν ὑγιαινόντων δίαιταν ἔμπροσθεν ἐδίδαξε. τὸ δὲ φθινόπωρον τοῖς κατὰ διαφθορὰν ἐνοχλοῦσι νοσήμασιν ἔοικε, διὸ καὶ τῆς χρηστοῦ προσθέσεως συνεχοῦς οἱ τότε πυρέσσοντες δέονται, κἂν ἡ δύναμις ἰσχυρὰ

εἴη, πολλάκις καὶ πολλὰ δώσομεν αὐτοῖς· εἰ δ’ ἀσθενὴς, ὀλίγα πολλάκις. παραπλησίως δ’ ἄν τις καὶ ἀπὸ τῶν ἡλικιῶν καὶ τῶν ἀπὸ ἐτῶν καὶ ἀπὸ τῶν χωρῶν λαμβάνῃ τὰς ἐνδείξεις, εἰς τοὺς πρώτους δύο σκοποὺς ἀνάγων αὐτάς. ἕκαστον γὰρ τῶν εἰρημένων ἤτοι ἰσχυρὰν ἢ ἀσθενῆ τὴν δύναμιν ἐργάζεται καὶ ἤτοι πληθωρικὸν ἢ ἐνδεὲς ἢ κακόχυμον τὸ σῶμα. — — —

ιη′. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήιστα, ἦρος δεύτερον.— — —

17b.433 Οὐ δὶς ὑπὲρ τῶν αὐτῶν, ὡς ἄν τις οἰηθείη, διῆλθεν, ἔμπροσθεν μὲν γράψας τὸν ἀφορισμὸν ἐκεῖνον, οὗ ἡ ἀρχὴ αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει. νυνὶ δὲ πάλιν, ὡς θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήιστα, ἦρος δεύτερον. ἀλλ’ ἐπειδὴ πρός τε τὸ ποσὸν τῆς διαίτης καὶ πρὸς τὸν τρόπον χρήσεως τῶν σιτίων, ἐπί τε τῶν ὑγιαινόντων καὶ τῶν νοσούντων ἀπὸ τῶν ὡρῶν ἔνδειξίν τινα λαμβάνει, δεόντως ἐν ἀμφοτέροις ἐμνημόνευσεν, ἐκεῖ μὲν δείξας ὡς τὰ προσάρματα τοῖς ὑγιαίνουσι πλείω διδόναι χειμῶνος· διότι τὸ ἔμφυτον θερμὸν πλεῖον καὶ τρέφεσθαι δεῖται. νυνὶ δὲ ὅτι κἂν ἅπαξ αὐτοῖς πολλὰ δοίης οὐ βλάψεις. εὐφόρως μὲν γὰρ φέρουσιν ἅπαντες πλῆθος σιτίων ἐν χειμῶνι, δυσφόρως δ’ ἐν θέρει. κατὰ τοῦτο ἐν χειμῶνι μὲν ὀλιγάκις τε καὶ πολλὰ προσφέρεσθαι σιτία συγχωρητέον, ἐν θέρει δ’ ἐπειδὴ δυσκόλως φέρουσι τὰ σιτία, διότι τὸ πέττον αὐτὰ καὶ κατεργαζόμενον τὸ ἔμφυτον θερμὸν ὀλίγον ὑπάρχει, τὸ μὲν ἀθρόον διδόναι ἅπαντι τρόπῳ
17b.434 φευκτέον, ἐπιχειρητέον δὲ συνεχέστερον ὀλίγα προσφέρειν. ἡ γὰρ τοῦ σώματος διάθεσις ὁμοία τοῖς κατ’ ἔνδειαν οὖσι νοσήμασιν προσθήκης δεῖται. χειμῶνος μὲν οὖν καὶ θέρους οὕτως ἔχουσι, τῶν δ’ ἄλλων δυοῖν ὡρῶν τὸ μὲν φθινόπωρον ἐφεξῆς θέρει, τὸ δ’ ἔαρ χειμῶνι καὶ ἡ αἰτία πρόδηλος. ἐμψύχεσθαι μὲν γὰρ ἄρχεται καὶ συνάγεσθαι καὶ πυκνοῦσθαι τὰ σώματα τῷ φθινοπώρῳ, χαλᾶσθαι δὲ καὶ ἀραιοῦσθαι τῷ ἦρι. διά γε οὖν ταῦτα δὶς οὐκ εἴρηται ταυτὸν ὑπὲρ τῶν ὡρῶν παράγγελμα ἢ καὶ ὅτι κατ’ ἐκεῖνον τὸν ἀφορισμὸν ὑπὲρ τῶν ὑγιαινόντων ὁ λόγος ἦν αὐτῷ. — — —

ιθ′. τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι μηδ᾽ ἀναγκάζειν, ἀλλ᾽ ἀφαιρέειν τῶν προσθέσιων πρὸ τῶν κρίσιων.— — —

17b.435 Τριῶν οὖν ὄντων κεφαλαίων διαιτητικῶν, τοῦ ποσοῦ τῶν σιτίων καὶ τοῦ ποιοῦ καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν, εἰς μὲν τὰ πρότερα δύο κεφάλαια παρὰ τῶν παροξυσμῶν οὐδὲν ἡμῖν ἐγένετο λυσιτελὲς, εἰς δὲ τὸ τρίτον ἔστι τί γε κἀκ τῶν παροξυσμῶν λαβεῖν. δεόντως οὖν καὶ ὁ Ἱπποκράτης ἐμνημόνευσεν αὐτῶν ἐν τῷ τρίτῳ κεφαλαίῳ. τοὺς καιροὺς γὰρ τῶν κατὰ μέρος τροφῶν οἱ παροξυσμοὶ μάλιστα διδάσκουσιν, ἐν οἷς γε νοσήμασι τεταγμένως ἁπαντῶσι, τουτέστι κατὰ περίοδον, καὶ διὰ τοῦτο καὶ αὐτὸς Ἱπποκράτης εἶπε τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι, εἰδὼς ὅτι καὶ ἄλλοι τινές εἰσιν, οἳ παροξύνονται μὲν ἐν νόσοις, οὐ μὴν κατὰ περιόδους, τουτέστιν οὐ τεταγμένως. ἐπ᾽ ἐκείνων μὲν οὖν οὐδὲ δυνατόν ἐστιν ἀκριβῶς ἐξευρεῖν τὸν καιρὸν τῆς προσφορᾶς. ἐφ᾽ ὧν δὲ τὰ τῶν παροξυσμῶν τέτακται, φυλακτέον ἐστὶ τὰς ἀρχὰς αὐτῶν, τουτέστιν ὅπως μήτ᾽ ἤδη γεγονότος μήθ᾽ ὅσον οὔπω γενησομένου τρέφωμεν. τὸ δὲ πρὸ τῶν κρίσεων, ἤτοι πρὸ τῶν παροξυσμῶν ἁπάντων ἁπλῶς ἢ πρὸ τῶν κυρίως λεγομένων
17b.436 κρίσεων, ἀκουστέον ἐστὶν ἢ πρὸ τῶν ἀκμῶν. ἀληθῆ γὰρ τὰ τρία. μᾶλλον δ᾽ ἂν δόξειεν ἁρμόττειν ἐν τοῖς προκειμένοις τὸ πρὸ τῶν παροξυσμῶν ἁπλῶς. περὶ γὰρ τῆς ἀκμῆς ἔμπροσθεν εἴρηται καὶ περὶ ἐκείνης δηλονότι καὶ περὶ τῆς κρίσεως. ἐν ταῖς ἀκμαῖς γὰρ τοὐπίπαν αἱ κρίσεις. — — —

κ′. Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινεῖν μηδὲ νεωτεροποέειν μήτε φαρμακίῃσι μήτ᾽ ἄλλοισιν ἐρεθισμοῖσι χρῆσθαι, ἀλλ᾽ ἐᾷν.— — —

Τὸν περὶ διαίτης συμπληρώσας λόγον ἐφ᾽ ἕτερον μεταβαίνει κεφάλαιον, ἐν ᾧ διδάσκει πότε μὲν ἐπιτρεπτέον ἐστὶ τῇ φύσει τὸ πᾶν αὐτῇ περὶ τὸν νοσοῦντα διαπράττεσθαι, μηδὲν ἡμῶν ἄλλο διαπραγματευομένων, ὅ τι
17b.437 μὴ τὸ κατὰ τὴν δίαιταν, πότε δὲ οὐ μόνον τῇ φύσει τὸ πᾶν ἐπιτρεπτέον, ἀλλά τι καὶ αὐτοὺς πραγματεύεσθαι. ἔνθα μὲν οὖν, φησὶν, ἤτοι γέγονεν ἤδη τελεία ἡ κρίσις ἢ γίνεται, τῇ φύσει τὸ πᾶν ἐπιτρέπειν χρὴ καὶ μηδὲν αὐτοὺς νεωτεροποιεῖν, ἔνθα δ᾽ ἐλλιπῶς κρίνεται, τὸ λεῖπον αὐτοὺς προστιθέναι. τοῦτο δ᾽ ἔλεγε κἀν τῷ περὶ χυμῶν κατὰ τήνδε τὴν λέξιν. τὰ κρινόμενα ἀπαρτὶ μὴ κινεῖν μήτε φαρμακίῃσι μήτε ἄλλοισιν ἐρεθισμοῖσι

νεωτεροποιεῖν. ὅπερ γὰρ ἀρτίως ἐν τοῖς ἀφορισμοῖς ἔφη, τοῦτο ἐν ἐκείνῳ τῷ βιβλίῳ μεταβαλὼν ἀπαρτὶ ὠνόμασεν. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις παλαιοῖς τοὔνομα τὸ ἀπαρτὶ κατὰ τούτου τοῦ σημαινομένου τοῦ ἀπηρτισμένως καὶ ὁλοκλήρως καὶ ἀνελλιπῶς, ὅπερ αὐτὸ καὶ τὸ ἀπαρτίως νῦν σημαίνει. οὐ γὰρ δὴ τό γε ἐν ἀρτίαις ἡμέραις, ψεῦδος γὰρ δὴ τοῦτο ἐναργῶς, εἴ τις ἐν ἀρτίαις ἡμέραις ἢ ἐκρίθη ἢ κρίνεται, μηδὲν ἐπὶ τούτων νεωτεροποιεῖν. οὐ μὴν οὐδὲ τὸ πρὸ ὀλίγου δηλοῖ τὸ ἀρτίως ἐν ταύτῃ τῇ ρήσει. δῆλον δὲ μάλιστα μὲν ἐκ τοῦ ῥητοῦ τοῦ ἐπιφερομένου, οὐ γὰρ
17b.438 εἶπεν ἁπλῶς τὰ κεκριμένα ἀρτίως, ἀλλὰ τὰ κρινόμενα καὶ τὰ κεκριμένα. τούτων δὲ τὰ κεκριμένα τάχα ἂν ὁμολογήσειε τῷ ἀρτίως. τὰ δὲ κρινόμενα κατ᾽ οὐδένα τρόπον, ἀλλὰ κἀξ αὐτῆς τῶν πραγμάτων τῆς ἀληθείας δῆλον. οὐ δήπου γὰρ εἴτε τι πρὸ ὀλίγου κέκριται, τοῦτο οὐ χρὴ νεωτεροποιεῖν, ἀλλ᾽ εἰ μὲν τελέως τε καὶ ἀνελλιπῶς καὶ ὁλοκλήρως, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, εἰ δ᾽ ἐλλιπῶς κατά τι, τὸ λεῖπον αὐτῶν χρὴ προσθεῖναι. τὰ γὰρ μετὰ κρίσιν ὑπολειπόμενα ὑποστροφὰς ποιεῖ. τίς οὖν ἐστιν ἡ τελεία καὶ ἀνελλιπὴς κρίσις, ἢ δῆλον ὅτι καθ᾽ ἣν πάντα καλῶς γίγνεται καὶ μηδὲ εἷς ἀριθμὸς ἐλλείπεται τῶν κριτικῶν; πρῶτον μὲν γὰρ ἀμείνων ἡ κατὰ κένωσιν τῆς κατ᾽ ἀπόστημα, εἶτα ἡ κατὰ τὸν λυποῦντα καὶ πλεονάζοντα χυμὸν τῆς ἄλλον τινὰ κενούσης, καὶ τρίτον ἡ κατ᾽ ἴξιν τῆς μή. κατ᾽ ἴξιν δὲ αὐτὸς ὀνομάζει τὸ κατ᾽ εὐθυωρίαν. ἐπὶ ταύταις ἡ μετ᾽ εὐφορίας, εἶθ᾽ ἡ μετὰ πέψεως ἐν ἡμέρᾳ κρισίμῳ. ταῦτα γὰρ πάντα χρὴ
17b.439 παρεῖναι τῇ τελείᾳ κρίσει. ἀπόντος δ᾽ αὐτῶν τινος ἢ καὶ πλειόνων, οὐκ ἀκριβὴς οὐδ᾽ ἀπηρτισμένη κρίσις ἂν εἴη. — — —

κα′. Ἃ δεῖ ἄγειν, ταύτῃ ἄγειν ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις, διὰ τῶν ξυμφερόντων χωρίων.— — —

Τίνα δή ποτε ἃ δεῖ ἄγειν; δηλονότι τὰ μήτε κρινόμενα μήτε κεκριμένα ἀρτίως. ταῦτα οὖν διὰ τίνος ἐκκενοῦν χρὴ μορίου διδάσκει, σκοπὸν ἡμῖν διδοὺς διττὸν, αὐτήν τε τοῦ μορίου τὴν φύσιν καὶ τὴν ῥοπὴν τοῦ χυμοῦ. ὅπως γὰρ ἂν, φησὶ, ῥέπῃ διὰ τῶν ξυμφερόντων χωρίων, ταύτῃ ἄγειν. ξυμφέροντα δ᾽ ἐστὶ χωρία κενώσεσιν, ἔντερά τε καὶ γαστὴρ καὶ κύστις καὶ μήτρα καὶ σύμπαν τὸ δέρμα, τῆς πρὸς τούτοις αἵ θ᾽ ὑπερῶαί τε καὶ ῥῖνες, ὅταν ἤτοι τὸν ἐγκέφαλον ἐκκαθαίρωμεν ἢ καθ᾽ αἱμορραγίαν ἡ

κρίσις γίνεται καὶ μάλιστα εἰ κατ᾽ ἴξιν, ὅπερ ἐστὶ κατ᾽ εὐθὺ τοῦ
17b.440 πεπονθότος μορίου. τὰ γὰρ ἀνάπαλιν αἱμορραγέοντα κακὸν, ὡς ἀσύμφορα δὲ χωρία αἱ ῥοπαὶ τῶν λυπούντων χυμῶν γίνονται, ὅταν ἤτοι κύρια ταῦτα τὴν φύσιν ὑπάρχει καὶ μείζων ἡ ἐξ αὐτῶν ἔσεσθαι βλάβη μέλλει, τῆς τοῦ κρινομένου νοσήματος ἀξίας ἢ ὅταν μηδεμίαν ἔκκρισιν ἔχῃ. παραδείγματος δ᾽ ἕνεκα τῶν καθ᾽ ἧπαρ λυπούντων χυμῶν ἐκκενοῦσθαι χρῃζόντων ἐπιτήδειοι ῥοπαὶ διτταὶ, ἡ μὲν ἑτέρα κατὰ τὴν γαστέρα καὶ ταύτης αὐτῆς βελτίων ἡ κάτω τῆς δι᾽ ἐμέτων, ἡ δ᾽ ἑτέρα τῶν κατὰ νεφρούς τε καὶ κύστιν, οὐ μὴν ἥ γε εἰς πνεύμονα καὶ θώρακα καὶ καρδίαν ἀγαθή. προσέχειν οὖν χρὴ τὸν ἰατρὸν τῇ ῥοπῇ τῆς φύσεως, εἴτ᾽ ἐπιτηδείως μὲν γενομένης ὑπηρετεῖν τε ἅμα καὶ συνεργεῖν εἴτ᾽ ἐναντίως τε ἅμα καὶ βλαβερῶς γίγνοιτο, κωλύειν τε ἅμα καὶ μετάγειν καὶ ἀντισπᾷν. — — —

17b.441 κβ′. Πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμὰ, μηδ᾽ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ.— — —

Τὸ μὲν φαρμακεύειν ἔθος ἐστὶν αὐτῷ λέγειν ἀντὶ τοῦ χρῆσθαι φαρμάκῳ καθαίροντι, τὸ δ᾽ ὀργᾶν ἀπὸ τῶν ὀργώντων ζώων μετενήνοχεν ἐπὶ τοὺς χυμούς. καθ᾽ ὃν γὰρ τρόπον ἐκεῖνα ἡσυχάζειν οὐ δύνανται γαργαλιζόμενά πως καὶ κινούμενα καὶ διανιστάμενα πρὸς τοῦ πάθους, οὕτω καὶ οἱ χυμοὶ πολλάκις ἐν κινήσει σφοδροτέρᾳ καὶ μεταρρύσει μορίων εἰς μόρια, κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐνοχλοῦσι τὸν ἄνθρωπον, κινοῦντες καὶ γαργαλιζόντες καὶ ἡσυχάζειν οὐκ ἐπιτρέποντες, ἀλλ᾽ αὐτοί τε κινούμενοι καὶ μεταρρέοντες, ἐνοχλοῦντές τε τῇ τοσαύτῃ φορᾷ τὸν κάμνοντα. τοὺς μὲν δὴ τοιούτους ἐκκενοῦν προσήκει, τουτέστι τοὺς ἐν κινήσει καὶ φορᾷ καὶ ῥύσει, τοὺς δ᾽ ἤδη καθ᾽ ἕν τι μόριον
17b.442 ἑστηριγμένους οὔτ᾽ ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν οὔτε φαρμακεύειν πρὶν πεφθῆναι. τηνικαῦτα γὰρ ἤδη καὶ τὴν φύσιν ἔχομεν βοηθοῦσαν τῇ κενώσει. φαίνεται γάρ τοι καὶ αὕτη μετὰ τὰς πέψεις διακρίνουσά τε τοὺς χυμοὺς, ἀπωθουμένη τε καὶ περιττὸν, ἐν ᾧ δὴ καιρῷ καὶ αἱ κρίσεις γίνονται. ἀλλὰ τελέως μὲν αὐτῆς κινουμένης οὐδενὸς δεῖ φαρμάκου. μετριώτερον δὲ καὶ ἀσθενέστερον ἐνεργούσης τὸ λεῖπον αὐτοὺς χρὴ προστιθέναι φαρμακεύοντας, ἵν᾽ ἐξ ἀμφοῖν ἡ τοῦ λυποῦντος χυμοῦ

γίνηται κένωσις, ἀπωθουμένης μὲν τῆς φύσεως, ἕλκοντος δὲ τοῦ φαρμάκου. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασιν ἡ μὲν φύσις ἑκάστου τῶν μορίων τέτταρσι δυνάμεσι χρωμένη, ἑλκτικῇ τε τοῦ οἰκείου καὶ καθεκτικῇ τοῦ αὐτοῦ καὶ πρὸς ταύτῃ πεπτικῇ καὶ τετάρτῃ τῶν ἀλλοτρίων ἀποκριτικῇ, ἕκαστον δὲ τῶν φαρμάκων τὸν οἰκεῖον ἑαυτῷ χυμὸν ἐπισπώμενόν ἐστι. καλῶς δὲ προσέθηκε τῷ λόγῳ, τὰ δὲ πολλὰ οὐκ ὀργῇ. καὶ χρὴ τοῦτο διδαχθῆναι παρὰ τῆς ἐμπειρίας, ὡς αἱ μεταρρύσεις ἄλλοτ᾽ εἰς ἄλλο μόριον τῶν
17b.443 χυμῶν ὀλιγάκις γίνονται. τὰ πλείω δ᾽ ἡσυχάζει καὶ μένει καθ᾽ ἕν τι μόριον, ἐν ᾧ καὶ πέττονται παρ᾽ ὅλον τοῦ νοσήματος χρόνον ἄχρι λύσεως. χρὴ δὲ γινώσκειν ὅτι ἔν τισι τῶν ἀντιγράφων ὁ ἀφορισμὸς οὗτος οὐ γέγραπται, κατὰ μέντοι τὸ περὶ χυμῶν ἐν ἅπασι γέγραπται. — — —

κγ′. Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ᾽ ὡς ἂν χωρέῃ οἷα δεῖ καὶ φέρει εὐφόρως καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν καὶ τοῦτο ποιεῖν, ἢν ἐξαρκέσῃ ὁ νοσέων.— — —

Εἴθ᾽ ὑπὸ φύσεως εἴθ᾽ ὑφ᾽ ἡμῶν ἡ κένωσις γίνοιτο, χρὴ πάντως ὡρίσθαι τι μέτρον αὐτῆς· ὡς γὰρ τὴν ποιότητα κατὰ τὸν λυποῦντα χρὴ κενοῦσθαι χυμὸν, οὕτω δηλονότι καὶ τὴν ποσότητα τῷ πλήθει τοῦ λυποῦντος ἁρμόττειν. ἀλλὰ τῆς μὲν ποιότητος τὰς διαγνώσεις ἔμπροσθεν εἴπομεν, ἡνίκα τὸν ἀφορισμὸν ἐξηγούμεθα, οὗ ἡ ἀρχὴ, ἐν τῇσι ταραχῇσι τῆς
17b.444 κοιλίας καὶ τοῖσιν ἐμέτοισι. ποσότητος δ᾽ οὐδὲν τοιοῦτον ἔχομεν εἰπεῖν γνώρισμα. διὰ τοῦτ᾽ οὖν ἐπ᾽ αὐτῆς ἔδωκεν ὁ Ἱπποκράτης ἡμῖν κριτήριον τὴν εὐφορίαν. εἰ μὲν γὰρ τὸ πλεονάζειν ἐκκενοῖτο, κουφότερον ἑαυτοῦ τὸν κάμνοντα καὶ εὐφορώτερον ἀνάγκη γίνεσθαι. εἰ δέ τι καὶ τῶν κατὰ φύσιν ἐκκρίνοιτο, καταλύεσθαί τε καὶ ἀρρωστεῖν αὐτοῦ τὴν δύναμιν αἰσθάνεσθαί τε δυσφορίας, ὥστε μὴ τῇ προχείρῳ φαντασίᾳ τῆς ποσότητος τῶν κενουμένων προσέχειν τὸν νοῦν, ἀλλὰ τοῖς εἰρημένοις δύο γνωρίσμασιν, εἰ οἷα δεῖ κενοῦνται καὶ εἰ μετ᾽ εὐφορίας. τὸ δ᾽ ἐφεξῆς εἰρημένον ὑπ᾽ αὐτοῦ, τὸ καὶ ὅκου δεῖ ἄγειν μέχρι λειποθυμίας, ὀρθῶς μὲν λέλεκται. προσγεγράφθαι δὲ χρὴ τὰ γνωρίσματα τῆς χρήσεως. ἐπεὶ τοίνυν ἐκεῖνος οὐκ εἶπεν ἡμεῖς ἐξ ὧν αὐτῇ τε τῇ πείρᾳ καὶ τῷ λόγῳ δοκοῦμεν εὑρηκέναι τὰς διαθέσεις, ἐφ᾽ ὧν ἁρμόττει τὸ μέχρι τῆς

λειποθυμίας κενοῦν ἐροῦμεν. καὶ πρῶτόν γε τὸ μέχρι ποίας λειποθυμίας
17b.445 εἴρηται ὑπ᾽ αὐτοῦ διορίσασθαι δίκαιον. οὐ γὰρ δὴ τάς γε τοιαύτας λέγει λειποθυμίας, ὅσαι φοβηθέντων ἐνίοτε τῶν καμνόντων ἢ τὴν τῆς φλεβὸς διαίρεσιν, ἤ τι τοιοῦτον ἄλλο βοήθημα γίνονται. οὐ μὴν οὐδ᾽ ὅταν ἐν τῷ στόματι τῆς γαστρὸς ὑπάρχωσι δακνώδεις χυμοί τινες, ἤτοι πρότερον ἠθροισμένοι κατ᾽ αὐτὴν ἢ κατὰ τὴν τοῦ βοηθήματος χρῆσιν συρρυέντες λειποθυμίαι παρέσχον. λειποθυμοῦσι μὲν γὰρ καὶ τότε, οὐ μὴν ἱκανόν γε μέτρον κενώσεως ἡ τοιαύτη λειποθυμία, πρὸ τοῦ δέοντος ἐνίοτε γινομένη, καθάπερ καὶ ἐπὶ αὐτοῦ τοῦ διαναστῆναί τε καὶ καθίσαι πολλάκις ἐλειποθύμησάν τινες τῶν πυρεττόντων, διὸ δὴ καὶ κατακειμένους αὐτοὺς φλεβοτομοῦμεν. ἡ τοίνυν κατὰ τὸν λόγον τῆς κενώσεως ἐπιγιγνομένη λειποθυμία νῦν εἴρηται πρὸς Ἱπποκράτους μέτρον γινομένη τῆς κενώσεως, ἐπί τε μεγίστων φλεγμονῶν καὶ πυρετῶν διακαεστάτων καὶ ἀλγημάτων σφοδροτάτων. χρὴ δὲ, ὡς καὶ αὐτὸς εἶπεν, ἐρρωμένης τῆς δυνάμεως ἐπιχειρεῖν ἐπὶ τοσοῦτον κενοῦν καὶ ἡμεῖς πάνυ πολλάκις πεπειράμεθα τῶν τοιούτων κενώσεων ἰσχυρῶς
17b.446 ὠφελουσῶν. ἔν τε γὰρ τοῖς θερμοτάτοις πυρετοῖς ἡ μέχρι λειποθυμίας φλεβοτομία κατάψυξίν τε παραχρῆμα τῆς ὅλης ἕξεως ἐργάζεται καὶ σβέννυσι τὸν πυρετόν. καὶ δὴ καὶ ἡ γαστὴρ διαχωρεῖ τοῖς πλείστοις καὶ ἱδρῶτες προχέονται, καί τινες αὐτῶν ἐπὶ τούτων ἐπαύσαντο τελέως. ἄλλοι δὲ μεγάλως ὠφεληθέντες ἐνέκοψαν τὸ σφοδρὸν τοῦ νοσήματος. ἔν τε ταῖς μεγίσταις φλεγμοναῖς καὶ ταῖς ἰσχυροτάταις ὀδύναις οὐδὲν οἶδα μεῖζον βοήθημα τοῦ μέχρι λειποθυμίας ἐκκενῶσαι, διορισάμενος εἴτε φλεβοτομεῖν εἴτε καθαίρειν ἄχρι λειποθυμίας προσήκει, καθότι δεδήλωται ἐν τοῖς περὶ φλεβοτομίας ὑπομνήμασιν. — — —

κδ′. Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.— — —

Ὀλίγον ἔμπροσθεν εἴρηκε, πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμὰ,
17b.447 μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ, τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. νῦν οὖν καὶ ὅτι κατὰ τὰς ἀρχὰς μόνων τῶν ὀξέων νοσημάτων ἐγχωρεῖ ποτε κάθαρσιν ποιήσασθαι συμφέρουσαν ἐδίδαξεν ἡμᾶς. ἐν μὲν γὰρ τοῖς χρονίοις ἀεὶ χρὴ τὸν πεπασμὸν ἀναμένειν· ἐν δὲ τοῖς ὀξέσιν, ὅταν ὀργᾷ καὶ κατ᾽ ἀρχὴν

οἷόν τε φαρμακεύειν καὶ τοῦτο αὐτὸ πρᾶξαι μετὰ πολλῆς εὐλαβείας καὶ περισκέψεως. ὅθεν μοι δοκεῖ ὁ Ἱπποκράτης καλῶς προσθεῖναι καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν. εἴτε γὰρ προδιασκεψάμενος ἐπιμελῶς, εἴτε προπαρασκευάσας τὸν ἄρρωστον, εἴτε τὴν ἐνδεχομένην εὐκρίνειαν ἀναμείνας, εἴτε καί τινα τούτων, εἴτε καὶ πάντα σημαίνει τοὔνομα, τὴν εὐλάβειαν αὐτοῦ τὴν περὶ τὰς τοιαύτας καθάρσεις ἐνδείκνυται σαφῶς. κίνδυνος γὰρ οὐ μικρὸς ἐν ὀξεῖ νοσήματι κακῶς φαρμακεῦσαι, τῷ πάντα μὲν τὰ καθαίροντα φάρμακα θερμὰ ταῖς δυνάμεσιν εἶναι, δεῖσθαι δὲ τὸν πυρετὸν, ᾗ πυρετός ἐστι κατὰ τὸν ἑαυτοῦ λόγον, οὐχ ὅπως τῶν θερμαινόντων καὶ ξηραινόντων, ἀλλὰ τῶν ἐναντιωτάτων αὐτοῖς,
17b.448 τουτέστι τῶν ὑγραινόντων τε καὶ ψυχόντων. οὐκοῦν οὐδ' αὐτῆς ἕνεκα τῆς πυρώδους θερμασίας ἡ κάθαρσις ἡμῖν παραλαμβάνεται. ταύτην γὰρ ἴσμεν ὅσον ἐφ' ἑαυτῇ βλαπτομένην, ἀλλὰ τῶν ἐργαζομένων αὐτὴν ἕνεκα χυμῶν. χρὴ τοίνυν μείζονα τὴν ὠφέλειαν ἐκ τῆς τῶν λυπούντων χυμῶν κενώσεως γίγνεσθαι τῆς βλάβης, ἣν ἐξ ἀνάγκης λαμβάνεται τὸ σῶμα πρὸς τῶν καθαιρόντων φαρμάκων. ἔστι δὲ ἡ ὠφέλεια μείζων, ἐὰν ἀλύπως τε καὶ πᾶς ὁ βλάπτων καὶ λυπῶν ἐκκενωθῇ χυμός. ἵνα δὲ τοῦτο γένηται, πρῶτον μὲν δεῖ προσκέψασθαι εἰ ἐπιτηδείως ὁ κάμνων ἔχει πρὸς τὴν τοιαύτην κάθαρσιν. οἱ γὰρ ἐξ ἀπεψιῶν πολλῶν ἢ γλίσχρων ἢ παχέων ἐδεσμάτων, ὡσαύτως δὲ οἷς καὶ ὑποχόνδρια διατεταμένα πεφύσηται ἢ ὑπερβαλλόντως ἐστὶ θερμὰ καὶ πυρρώδη τὰ οὖρα, καί τις αὐτόθι τῶν σπλάγχνων φλεγμονὴ, πάντες οὗτοι πρὸς τὰς καθάρσεις ἀνεπιτήδειοι. χρὴ τοίνυν ἀπεῖναί τε ταῦτα καὶ τοὺς χυμοὺς ὡς ἔνι μάλιστα τοῦ κάμνοντος εὐρουστάτους εἶναι, τουτέστι λεπτοὺς καὶ ἥκιστα μετέχοντας γλισχρότητός τινος, ἀναπεπταμένους τε τοὺς πόρους, δι' ὧν ἡ κάθαρσις
17b.449 μέλλει γενέσθαι καὶ μηδεμίαν ἔμφραξιν ἔχοντας. ταῦτα γὰρ καὶ ἡμεῖς προπαρασκευάζομεν, ἐπειδὰν μέλλωμεν καθαίρειν τινὰ καὶ τοῦτό ἐστιν αὐτὸ τὸ ὑφ' Ἱπποκράτους εἰρημένον ἐν ἐκείνῳ τῷ ἀφορισμῷ. τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρειν, εὔροα ποιέειν. ἀλλ' ἔν γε τοῖς ὀξέσι νοσήμασι κατ' ἀρχὰς εὐθὺς, ἤτοι περὶ τὴν πρώτην ἡμέραν ἢ οὐκ ἔξω τῆς δευτέρας μελλόντων ἡμῶν χρῆσθαι ταῖς καθάρσεσιν, ὅταν ὀργᾷ, τὴν τοιαύτην παρασκευὴν οὐκ ἐγχωρεῖ γενέσθαι, πλὴν εἰ μὴ ἄρα τις σχοίη καιρὸν, μελίκρατον δοῦναι πιεῖν, ἐναφεψήσας ὑσσώπου τι ἢ ὀριγάνου, ἢ

τραγοριγάνου ἢ θύμου ἢ γλήχωνος, ἤ τινος τῶν οὕτως λεπτυνόντων χυμοὺς, ὥστ᾽ εὐλόγως εἶπεν ὀλιγάκις ἐν τοῖς ὀξέσι νοσήμασι κατ᾽ ἀρχὰς ἔσεσθαι χρείαν ἡμῖν φαρμακείας, τῷ μήτε πολλάκις ὀργᾷν ἐν ἀρχῇ τοὺς λυποῦντας χυμοὺς μήτ᾽, εἰ καί τι τούτων ὑπάρχει, τοῦ νοσοῦντος ἐπιτηδείου πρὸς τὴν κάθαρσιν ἔχοντος, ἀλλὰ μηδὲ καιρὸν ἡμῖν παρέχοντος τοῦ νοσήματος, ἐπιτήδειον αὐτὸν παρασκευάσαι. — — —

17b.450 κε′. Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, τὰ δ᾽ ἐναντία δυσχερῶς.— — —

Φανερῶς οὗτος ὁ ἀφορισμὸς ἐν ἐκείνῳ περιέχεται καθ᾽ ὃν ἔλεγεν· ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, ἢν δὲ μὴ, τἀναντία. ἀλλ᾽ ἐπειδὴ κατὰ τοῦτο τὸ χωρίον τοῦ βιβλίου περὶ τῶν ὑπὸ τοῦ ἰατροῦ γινομένων διελέγετο καθάρσεων καὶ σχεδὸν ἅπαντας εἴρηκε τοὺς ἀναγκαίους διορισμοὺς, οὐκ ὤκνησεν οὐδὲ τοῦτον προσθεῖναι τὸν ἀφορισμὸν, οὐδὲν μὲν διδάσκοντα νεώτερον, ἀναμιμνήσκοντα δὲ ὧν ἔμπροσθεν ἐν ἑτέρῳ χωρίῳ τοῦ βιβλίου, περὶ τῶν αὐτομάτων κενώσεων προειρήκει, πρὸς τῶν κἀνταῦθα συμπεπληρῶσθαι τὸν περὶ τῶν καθάρσεων ἅπαντα λόγον.

https://eulogikon.org/works/galen-pergamon-hippocrates-aphorisms-commentary-1-qmm-hl · eul_wid qmm-hl · Diogenes Lab reading page 1a42e9227948